Κατὰ τοὺς νεωτάτους χρόνους πολλάκις σφοδρὰ ἠγέρθη συζήτησις, εἴπερ ἡ γλωσσολογία τῶν φυσιογραφικῶν ἐστιν ἐπιστημῶν ἢ εἰς ἄλλον τινὰ τῶν ἡμετέρων γνώσεων περίβολον ἀνάγεται· καὶ πολλοὶ μὲν τῶν διασήμων γλωσσολόγων καὶ μάλιστα ὁ Max Müller καὶ Schleicher ὑπὲρ τῆς πρώτης ἀπεφάνθησαν γνώμης, τοὐναντίον δὲ ὁ Steinthal ὑπὲρ τῆς δευτέρας. Ἀλλά τῶν τοιούτων γενικῶν διαιρέσεων καὶ καταταξεων τὸ ἀποτέλεσμα ὡς ἐπὶ τὸ πολὺ ἀνεπαρκὲς ἐξελέγχεται. Τίς ἀρνήσασθαι δύναται, ὅτι ἡ μέθοδος, ἣν νῦν ἡ γλωσσολογία μεταχειρίζεται, τῇ τῶν φυσιογραφικῶν προσεγγίζει ἐπιστημῶν; Οἱ φυσιοδίφαι ἐν τοῖς ἑαυτῶν διατρίβειν ὑπολαμβάνουσιν, ὅταν εὐκαιρίας παρ' ἡμῶν χορηγουμένης ἐπιλαμβανόμενοι καὶ εἰς τὸ τῆς γλωσσολογίας ἐργαστήριον παρακύπτωσιν. Εἰσὶν ἀλλ' ὅμως ἐν τῇ τῆς γλώσσης ζωῇ καὶ μέρη ὅλως τὴν τοιαύτην μέθοδον ἀποκρούοντα· τοιοῦτόν ἐστιν ἅπαν τὸ τῆς συντάξεως μέρος, καθὰ καὶ ἡ γένεσις, παγίωσις καὶ διακλάδωσις τῶν σημαινομένων τῶν λέξεων. Οἱονδήποτέ τις ἂν καταβάλῃ ἀγῶνα ἐνταῦθα πρὸς ἐπίτευξιν τῆς ἀκριβείας καὶ εὐκρινείας, ἀπαραίτητος αὐτῷ ἔσται ψηλαφητὴ συνθετικὴ τις μέθοδος, τὴν τοῦ ἱστορικοῦ μᾶλλον ἀναμιμνήσκουσα· καὶ ὅμως ταῦτα τοσούτῳ θεμελιώδη τῆς γλώσσης μέρη εἰσίν, ὅσῳ καὶ τὰ ἄλλα ἐκεῖνα. Οὐδόλως δὲ τῶν δυσχερειῶν ἀπαλλασσόμεθα ἀποχωρίζοντες ταῦτα ἀπὸ τῶν ἄλλων διὰ τῆς λέξεως λειτουργίαν ἢ εἰς ἄλλην ἐπιστημονικὴν περιοχὴν κατατάσσοντες. Κατὰ τὸν αὐτὸν δὲ τρόπον νεωστὶ καὶ Bréal ἀποφαίνεται ἐν τῷ ἐπαγωγῷ αὐτοῦ συγγραμματίῳ *Sur la forme et la fonction des mots*. Ἐν οὐδεμιᾷ δὲ περὶ γλώσσης θεωρίᾳ, οὔτε ἐν τῇ τῶν τύπων ἀναλύσει, οὔτε ἐν τῇ ἐμπεδώσει τῶν φθογγολογικῶν νόμων δύναταί τις τὴν ἀναλογίαν παριδεῖν, ἣ ἀμωσγέπως πνευματικὴ ἐστι καί, ὅσον ἐγὼ γινώσκω, τῇ φυσικῇ ζωῇ ἀλλοτρία. Τὴν αἰτιατικὴν πληθυντικὴν πόλεις οὐκ ἔστι ῥᾴδιον ἐκ τοῦ θεμελιώδους τύπου πόλινς ἢ πόλι-ας ἐξηγήσασθαι, ἀλλὰ μᾶλλον ἐκ τῆς ἀνειμένης συνηθείας, ὅτι κατ' ἀναλογίαν τῆς ὀνομαστικῆς ἐσχημάτισται· ὡσαύτως καὶ ἡ πρὸς διαφορότητα (differenzirung) ῥοπή, ἐκφανὴς οὐχ ἧττον καθισταμένη, τῇ πνευματικῇ ἀνάγεται τάξει. Δι' αὐτὴν ἐκ τῆς κοινῆς ῥίζης ar τρεῖς ἐν τῇ ἑλληνικῇ προέκυψαν ῥίζαι τόν τε φθόγγον καὶ τὴν σημασίαν διάφοροι, ἀρ ἐρ ὀρ· οὕτως ἀπὸ τοῦ φαινομένου ἁπλῶς αἰσθητοῦ πανταχοῦ ἐκλάμπει τὸ πνευματικόν, ὥστε εἰς τελείαν γνῶσιν μόνη ἡ κοινὴ περὶ τοῦ συναμφοτέρου ἐπισκόπησις φέρει, ἀλλὰ καὶ ἐν οἷς ἡ συγγένεια τῆς γλωσσολογίας πρὸς τὰς φυσιογραφικὰς ἐπιστήμας ἔχει ὀρθῶς, ἔστιν αὕτη πρὸς ἐκείνας μάλιστα, ὅσαι ὡς ἡ γεωλογία καὶ παλαιοντολογία περὶ ἀντικείμενα ἀσχολοῦνται εὐμετάβλητα καὶ ἐν τῇ φορᾷ τῶν χρόνων πάνυ διάφορα. Εἰ δ' ὁ Max-Müller τὴν λέξιν ἱστορίαν ἀπὸ τῆς γλώσσης ἀποκλείει, πράττει τοῦτο ἀποδεχόμενος μερικήν τινα τῆς λέξεως σημασίαν, τῷ ἀγγλικῷ μόνον ἰδιώματι προσήκουσαν. Ἀλλ' ἡμεῖς εἰώθαμεν, καὶ δικαίως, τῇ γλώσσῃ ἱστορίαν ἀπονέμειν· ὅπου γὰρ τὸ γίγνεσθαι, ἐκεῖ καὶ ἱστορία· καὶ ὡς ἄλλα πολλὰ κατὰ τὸ μᾶλλον καὶ ἧττον τῇ ἀνθρωπίνῃ βουλήσει οὐχ' ὑποκείμενα, οἷον τό τε δίκαιον καὶ ἡ θρησκεία καὶ τὰ ἤθη καὶ αὐτοί γε μὴν οἱ ἱματισμοί, ἱστορίας εὐμοιροῦσιν, οὕτω καὶ ἡ γλῶσσα· ἡ περὶ τὴν γένεσιν μάλιστα τῆς ζωῆς τῆς γλώσσης κατάληψις καὶ θεωρία τὴν νέαν γλωσσολογίαν διακρίνει ἀπὸ τῆς ἀρχαίας, εἰς ἁπλῆν περιοριζομένης ἀπαρίθμησιν ἢ εἰς ἀπόπειραν συστηματικῆς τινος κατατάξεως τῶν γλωσσικῶν φαινομένων. Ὁ θεμελιώδης τῆς γλωσσολογίας χαρακτὴρ εἴτε εἰς περιωρισμένον περιστρέφεται κύκλον, εἰς τὴν σπουδὴν καὶ μελέτην μιᾶς τινος γλώσσης ἐπὶ τῶν μνημείων αὐτῆς ἐρειδομένην, εἴτε εἰς εὐρύτερον, πανταχοῦ ἱστορικὴ ἐστιν.

Ἐκ δὲ ταύτης τῆς ἱστορικῆς διευθύνσεως ἄλλη τις ἐπέρχεται εὐρυτέρα· διότι ἐν ἑκάστῃ ἱστορικῇ ἐρεύνῃ λόγος περὶ διαδοχῆς γίγνεται, ἤτοι περὶ τοῦ τί πρότερον καὶ τί ὕστερον ἔν τε τοῖς καθ' ἕκαστα καὶ ἐν τοῖς καθόλου· ἄνευ χρονολογίας καὶ περιόδων στηριζομένων ἐπὶ χρονολογικῶν δεδομένων ἡ ἱστορία οὐδέν ἐστιν· ὑπαρχούσης οὖν ἱστορίας τῆς γλώσσης, κατ' ἀνάγκην καὶ χρονολογία τις τῆς ἱστορίας ταύτης ἔσται καὶ νέα τις ἐπιστήμη ἢ μᾶλλον ἐπιστημονικόν τι προκύψει πρόβλημα, ὅπερ χρονολογίαν ἢ χρονολογικὴν περὶ γλώσσης θεωρίαν καλέσαι δυνάμεθα. Βεβαίως παραδόσεις ὡρισμέναι, χρονικαὶ ἐποχαί, εἰδήσεις τοιαῦται, οἵαι εἰσὶν αἱ τὰ θεμέλια συναπαρτίζουσαι τῆς χρονολογίας τῆς οὕτω λεγομένης γενικῆς ἱστορίας, ἐν τῇ γλωσσολογίᾳ μόνον κατὰ περιόδους σχετικῶς μικρὰς καὶ μεταγενεστέρας ὑπάρχουσι. Περὶ τῆς ἱστορίας τῆς ἀρχαιοτέρας λατινίδος, φωνῆς π. χ. μετὰ θαυμασίας ὀξυνοίας ὡς ἀπὸ βυθοῦ μεταλλείων ἠρύσαντο ταῦτα· ἀλλ' ἐπέκεινα τῆς φιλολογικῆς ἤτοι τῆς ὑπὸ γραπτῶν μνημείων μαρτυρουμένης περιόδου ἔστι καὶ ἄλλο τῆς ἱστορίας τῆς γλώσσης μέρος πολὺ εὐρύτερον, περὶ οὗ ὅμως τοιαῦται ἐξωτερικαὶ ἐνδείξεις καὶ στηρίγματα ὅλως ἐλλείπουσιν· ἐρευνώμεθα μόνον ἐπὶ ἐσωτερικῶν λόγων· ἀλλὰ δι' αὐτὸ τοῦτο, διότι ψηλαφηταί, οὕτως εἰπεῖν, ἐλλείπουσιν ἡμῖν χρονολογικαὶ ἐνδείξεις, οἵαι ἐν τῇ ἄλλων πολλῶν πραγμάτων ἱστορίᾳ πρόχειροί εἰσιν, ἡ ἐπιχείρησις τοῦ διαδοχὴν τῶν ἱστορικῶν συμβάντων ὁρίσαι ὅσῳ δυσκολωτέρα τοσούτῳ καὶ ἀναγκαιοτέρα τῇ γλωσσολογίᾳ παρίσταται· ἄνευ χρονολογίας ἡ ἱστορία τῆς γλώσσης οὐδὲν ἄλλο ἢ σωρεία ἔσται μερικῶν τινῶν πραγμάτων καὶ τούτων ἀβεβαίων, καθ' ὅσον ἂν μηδὲν ἐπὶ ἄλλων ἔχωσι στήριγμα, μηδὲ τὴν ἀσφαλῆ καὶ προσήκουσαν αὐτοῖς ἐν τῇ γενικῇ ἀναπτύξει καταλαμβάνωσι χώραν.

Ἂν οὖν ἐξετάσωμεν, εἴπερ ἐν ταῖς ἰνδοευρωπαϊκαῖς γλώσσαις, περὶ ὧν καὶ μόνων ἐνταῦθα τὸν λόγον ποιησόμεθα, ἐκτελέσιμός ἐστι χρονολογικῶς συντεταγμένη ἱστορία, εὑρήσομεν ὅτι αὕτη ἐν τῇ φθογγολογίᾳ εὐκολωτέρα ἐστίν· διότι παρὰ πάντων ὁμολογεῖται, ὅτι τῆς γλώσσης οἱ φθόγγοι τῷ χρόνῳ ἀλλοιοῦνται, τουτέστι μέρος ἀποβάλλουσι τῆς δυνάμεως τῆς ἐναρθρώσεως καὶ τῆς μεστότητος τοῦ ἤχου. Ὅταν οὖν ἐν τῇ δὲ μὲν τῶν γλωσσῶν τὸν πληρέστερον, ἐν ταύτῃ δὲ τὸν ἀσθενέστερον ἀνευρίσκωμεν φθόγγον, ἀναντιρρήτως ἡ μὲν πρώτη τῶν μορφῶν ἀρχαιοτέρα, ἡ δ' ἑτέρα νεωτέρα ἐστίν· οὕτω δὴ ἐνταῦθα χρονολογικὴν ἔχομεν διαδοχὴν καὶ ἐκ τῶν τύπων τῶν μερικῶν γλωσσῶν, ἐκ τοῦ ἑλληνικοῦ π. χ. ἵππο-ς καὶ ἐκ τοῦ σανσκριτικοῦ açva-s δυνάμεθα εἰς τὸν κοινὸν καὶ θεμελιώδη ἀνελθεῖν τύπον akva s, χρονολογικῶς ἑκατέρων προγενέστερον ὄντα, ἐν πολλοῖς δὲ καὶ τοὺς βαθμούς, οὓς ἡ λέξις διῆλθε, μετά τινος βεβαιότητος ὑποδεῖξαι. Τὸ μὲν κατ' ἀρχὰς ἡ συγκριτικὴ γραμματική, ἐπειδὴ οὐκ ἦν ἄλλως γενέσθαι, μᾶλλον εἰς ὅ τι κοινὸν εἶχον αἱ συγγενεῖς γλῶσσαι, καταλέγειν ἠσχολεῖτο, κατὰ τοὺς νεωτέρους ὅμως χρόνους τὴν πρώτην κατείληφε χώραν ἡ περὶ τὴν κατάρτυσιν τοιούτων σειρῶν μέριμνα.

Πρῶτος δὲ νέαν ὁδὸν ἔτεμε καὶ ὁδηγὸς ἐγένετο ὁ Ἰάκωβος Γρίμμιος. Ἡ ἀνακάλυψις τῆς μεταφθογγώσεως (1) ἤτοι τῆς μεταλλαγῆς τῶν φθόγγων ἔχει οὐσιωδῶς χρονολογικὴν σημασίαν· διότι ὁ Γρίμμιος ἀνεῦρεν, ὅτι δὶς κατὰ πολὺ διαφόρους τῆς ἱστορίας τῆς γλώσσης χρόνους αἱ αὐταὶ ἢ ὅμοιαι περίπου μεταφθογγώσεις συνέβησαν, καὶ μετὰ μεγίστης εὐστοχίας ἀπέδειξεν, οἵαν τοιαῦται παρατηρήσεις σημασίαν ἐπὶ τῆς ἱστορίας τῶν γλωσσῶν καὶ τῶν ἐθνῶν ἔχουσιν· ἡ ἀφετηρία ὅμως, ἐξ ἧς ὡρμήθη, ὅπως ἅπαν τὸ φαινόμενον τοῦτο ὁρίσῃ, αὐθαιρέτως ἐξελέγη, καὶ ὕστερον ἐπετεύχθη, τὸ μὲν ἵνα αὕτη ἐπανορθωθῇ, τὸ δὲ ἵνα αἱ μεταξὺ τῶν πρωτευουσῶν περιόδων ἑκάστων βαθμίδες ἐγγύτερον ἀνιχνευθῶσι, καὶ κατὰ ταῦτα, ὡς νομίζω, τὰ φαινόμενα ἐκεῖνα εἰς χρονολογικὴν κατάταξιν ὀρθοτέραν ἀναχθῶσιν. Οὐ μὴν ἀλλὰ καὶ ἐν ἄλλοις ἡ πρόοδος τῆς ἐπιστήμης ὡς πρὸς τὴν

---

(1) Ἡ μετάφρασις τῶν ὅρων τῆς νέας γλωσσολογίας, ὡς ἔχουσι μάλιστα παρὰ Γερμανοῖς, τῶν δυσχερεστάτων ἐστίν· ἡμῖν δὲ αἱ ἑξῆς ἀποτετόλμηνται καινοτομίαι· ἡ μὲν γερμανικὴ λέξις Lautverschiebung (=Lautverænderung, Lautübergang) μετεφράσθη μεταφθόγγωσις ἤτοι μεταβολή, μεταλλαγὴ τῶν φθόγγων, ἡ δὲ Lautverstærkung (=Zulaut, Steigerung) ἐπιφθόγγωσις ἤτοι ἐπίρρωσις τῶν φθόγγων, ἡ δὲ Lautspaltung διαφθόγγωσις ἤτοι διάσχισις τῶν φθόγγων, οἷον τοῦ θεμελιώδους α εἰς α, ε, ο, ἡ δὲ Lautverschwæchung (=ablaut) ὑποφθόγγωσις, ἐξασθένισις τῶν φθόγγων, ἡ δὲ Lautverwitterung ἀποφθόγγωσις, φθορά τις καὶ ἀλλοίωσις τῶν φθόγγων, καὶ οἱονεὶ ἀποσύνθεσις αὐτῶν. Τὴν τῶν φθόγγων ἐξασθένισιν τῶν γλωσσολόγων τινὲς ἀποφωνίαν (=ablaut) ἐκάλεσαν, ὡς καὶ τὴν φθογγολογίαν φωνολογίαν· ἀλλ' ἐπειδὴ ἡ λέξις φωνὴ καὶ τὰ ἐξ αὐτῆς σύνθετα ἐν τῇ κοινῇ γλώσσῃ ἄλλην ἔχουσι σημασίαν, ἵνα μὴ σύγχυσιν ἐπαγάγωμεν, νέα ὀνόματα ἐκ τοῦ φθογγο πλάσαι προειλόμεθα πρὸς ἔκφρασιν νέων ἰδεῶν ἐπιτηδειότερα.

Στμ. Η. Β.

τῶν φθόγγων θεωρίαν οὐσιωδῶς ἐν τῇ τῆς βαθμιαίας ἀναπτύξεως ὀξύφρονι θεωρίᾳ κεῖται· ὅτι τῷ σανσκριτικῷ j πολλάκις τὸ ἑλληνικὸν ἀντιστοιχεῖ ζ, τοῦτο ἤδη γνωστὸν ὑπὸ τοῦ Bopp καὶ Pott ἐγένετο· ἀλλὰ πῶς καὶ διὰ τίνων διαμέσων βαθμίδων τὸ j εἰς ζ μετέπεσε, τοῦτο ὁ Schleicher ἀπέδειξεν ἐξ εὐρυτάτης παραλληλίσεως παρομοίων φαινομένων ἐν γλώσσαις διαφορωτάταις. Ἡ μὲν ἀρχαία γραμματικὴ ἀνταλλαγὰς ἤτοι μετατροπὰς τῶν φθόγγων πρὸς ἀλλήλους ἠσπάζετο παραδεχομένη, οἷον μεταξὺ τοῦ ἑλληνικοῦ σ καὶ τοῦ δασέος πνεύματος, σῦς καὶ ὗς, semi λατ. καὶ ἡμι ἑλλ. Ἀλλὰ πότερος τῶν φθόγγων τούτων ἦν ὁ ἀρχαιότερος, ἢ οὐδόλως τὸ ζήτημα τοῦτο ἐκίνει, ἢ ἀτελῶς ἀπεκρίνετο· ἠρκεῖτο ἁπλῶς εἰς τὸν τύπον: τὸ α ἀνταλλάσσεται τῷ β· ἡ δὲ συγκριτικὴ γραμματικὴ εὐθὺς εἰς ἀσφαλεστέρας ἤγαγεν ἀποφάσεις, ὅτι τὸ μὲν σ εἰς ‘ μετατρέπεται, οὐχὶ δὲ καὶ τἀνάπαλιν, ἢ ἐν τύπῳ ἐκφραζόμενον, τὸ α μεταβάλλει εἰς β, οὐδέποτε δὲ τὸ β εἰς α· ὥστε τὸ α, ὅπου μεταλλαγὴ ἐπῆλθεν, ἀρχαιότερον ἦν τοῦ β· ἀλλ’ οὐδόλως τούτοις ἀρκεῖται, ἀποπειρωμένη ἔνθεν μὲν τὰς διαφόρους τῶν φθόγγων πρὸς ἀλλήλους μεταβολὰς χρονολογικῶς ὁρίσαι, ἔνθεν δὲ τύπων ἐπιτυχεῖν, οἷοι τὸ α μετετράπη μᾶλλον εἰς β εἰς γ, ἢ τὸ α μετετράπη εἰς β μᾶλλον ἢ τὸ γ εἰς δ. Οἱ Ἕλληνες τὸ ἀρχικὸν σ πρὸ τῶν φωνηέντων, καθὰ καὶ τὸ j καὶ v (F) εἰς ἁπλοῦν μετέβαλον πνεῦμα· αἱ ὑποφθογγώσεις αὗται (ἐξασθενίσεις τῶν φθόγγων) διὰ μιᾶς ἐπῆλθον ἢ κατὰ διαδοχὴν ἡμὲν μετὰ τὴν ἄλλην καὶ κατὰ τίνα τάξιν; ἀλλὰ καὶ πρὸς τὴν θέσιν καὶ λύσιν τῶν τοιούτων ζητημάτων τὸ ἐνδόσιμον ἡ ἀπόδειξις τῆς μεταφθογγώσεως παρέχει· διότι τὸ φαινόμενον τοῦτο δείκνυσι διὰ τῆς εὐρείας αὐτοῦ διακλαδώσεως, ὅτι αἱ μεταβολαὶ διαφόρων φθόγγων οὐκ ἄνευ συναφείας εἰσὶ πρὸς ἀλλήλας· κἀνταῦθα ἄρα τὸ πλῆρες φῶς ἐκ τῶν καθόλου ἀπαστράψει.

Ἀλλ’ ἔτι ἧσσον προσήκει τὴν χρονολογικὴν θεωρίαν ἀπὸ τῆς δημιουργίας τῶν γραμματικῶν τῆς γλώσσης τύπων ἀποκλεῖσαι· διότι περὶ αὐτῶν ὑπάρχουσιν ἐνδείξεις, ἐφ’ ὧν δυνάμεθα στηριχθῆναι, καὶ ἐν αὐτῇ τῇ κοινῇ γραμματικῇ, ἣν ἡμῖν ἡ ἀρχαιότης ἐκληροδότησεν· οἱ ἀρχαῖοι γραμματικοὶ καὶ ἐν ταῖς τρισὶ τοῦ ῥήματος διαθέσεσι πρῶτον καὶ δεύτερον διακρίνουσιν ἀόριστον· καίτοι δι’ αὐτῶν πολὺ ἀπεῖχον χρονικήν τινα διαδοχὴν ὑποδεῖξαι, διότι πᾶσα ἐν συμπάσῃ τῇ ἀρχαιότητι ἱστορικὴ περὶ γλώσσης θεωρία ὅλως ἀλλοτρία ἦν, δύο ἀλλ’ ὅμως σχηματισμοὺς χρόνων κατὰ ζεύγη κατέταξαν, καὶ ταύτην τὴν διάκρισιν καίπερ μεγάλων ἁμαρτημάτων οὐκ ἀπηλλαγμένην πρός τε τὸν τοῦ παρακειμένου σχηματισμὸν καὶ πρὸς τὸν τοῦ μέλλοντος ποιησάμενοι, τὴν πρώτην παρέσχον ἀφορμὴν εἰς συνοπτικὴν τοῦ ῥήματος κατάταξιν, ἣν οὐδέποτε οἱ τῆς λατινίδος φωνῆς γραμματικοὶ κατώρθωσαν· θρὶξ ἀνὰ μέσον τοῦ πρὸς τὰ πρόσω βήματος, καὶ ὅμως χιλιετηρίδες παρῆλθον, ἕως ἂν τοῦτο ὁ Βούττμανος (1) ποιήσῃ ἀποφανθείς, ὅτι τῶν δύο σχηματισμῶν ὁ μὲν ἀρχαιότερος, ὁ δὲ νεώτερος. Καὶ βεβαίως νῦν οὐκ ἄνευ μειδιάματος δυνάμεθα ἀναγνῶναι, ὃ ἐν τῇ μεγάλῃ γραμματικῇ (1368) λέγει· «ὁ ἀόριστος καθ’ ἣν ἔχει σημασίαν ἐν τῇ ὁριστικῇ τῆς ἑλληνικῆς γλώσσης καὶ μάλιστα τὸ τρίτον αὐτοῦ πρόσωπον, ὁ φυσικός ἐστι τρόπον τινὰ τοῦ ῥήματος φθόγγος.» Νομίζομεν ἐν ταύτῃ τῇ ἐκφράσει ἀπήχησίν τινα Ἐρδέρου τε καὶ Ρουσσὼ ἀκούειν· ἡ δὲ τοῦ τρίτου προσώπου προτίμησις προφανῶς ἐκ τῆς κατασκευῆς τοῦ ἑβραϊκοῦ προῆλθε ῥήματος· ἀλλὰ τὰ ἑξῆς ὀρθότατα καὶ μεγίστης ἀξίας εἰσίν, «ὅτι ὁ δεύτερος ἀόριστος ὁ ἀρχαιότερός ἐστι τοῦ ἀορίστου τύπος.» Ἐκ τούτων ἡ ὁδὸς ἠνέῳκται εἰς τὴν χρονολογικὴν κατάταξιν τῶν ζευγῶν τῶν ῥηματικῶν χρόνων, καὶ ἡ πρόοδος παρεσκεύασται τῆς περὶ γλώσσης θεωρίας ταύτης, ἣν ὁ Ἰάκωβος Γρίμμιος ἐποιήσατο, ὅτε ἐν τῷ εὑρεῖ τῆς γερμανικῆς γλώσσης περιβόλῳ αὐτὴν ταύτην ἀνεῦρε τὴν διαφορὰν ἐν τῷ σχηματισμῷ τοῦ παρῳχημένου, καὶ ἐπὶ ταύτης στηριζόμενος τὴν διάκρισιν ἐθεμελίωσε τῶν ῥημάτων εἰς ἰσχυρὰ (starken) μετὰ παρῳχημένου ἀρχαιοτέρου, τουτέστιν ἁπλῶς ἐσχηματισμένου, καὶ εἰς ῥήματα ἀσθενῆ (schwachen) μετὰ συνθέτου παρῳχημένου (γερμαν. Γραμμ. 1, σελ. 1041). Τοῦτο ὅλως συνᾴδει τοῖς ὑπὸ Bopp ἤδη ἐν τῷ τῆς συζυγίας συστήματι (σελ. ις’) εὑρημένοις· οὕτω δὲ οἱ μὲν ὑπὸ τῶν προτέρων ὡς ἀρχαιότεροι ἀόριστοι ἐκληφθέντες ὡς ἁπλοῖ ἐθεωρήθησαν, οἱ δὲ νεώτεροι ὡς σύνθετοι· περὶ δὲ τοῦ παρακειμένου καὶ μέλλοντος ἐδέησεν, ὅπως αἱ ἀρχαιότεραι καταταξεις ὅλως σχεδὸν ἐγκαταλειφθῶσιν. Ἐκ τούτων καὶ ἡ κατασκευὴ ὁπωσοῦν ἐνοήθη τοῦ

(1) Οἱ Ὁλλανδοὶ γραμματικοὶ ἐγγὺς μὲν τῆς γνώσεως ταύτης ἦλθον, οὐκ ἐγένοντο ὅμως καὶ κάτοχοι αὐτῆς, ὡς ἔστιν ἰδεῖν ἐν τῇ δευτέρᾳ τοῦ Λεννεπίου συγγράμματος ἐκδόσει (Traj. 1805), prælectiones academicæ de analogia linguæ Græcæ edid. Everardus Scheidius, σελ. 75.

λατινικοῦ ῥήματος καθόλου καὶ τοῦ παρακειμένου ἰδίᾳ, οὗ ὁ σχηματισμὸς κατὰ τὸ φαινόμενον τοσοῦτον αὐθαίρετος καὶ ἰδιότροπος παρίσταται· καὶ ἐπ' αὐτοῦ δὲ τοῦ σχηματισμοῦ τῶν χρόνων τῆς σανσκρίτης, ὃς τοσοῦτον τῷ τὸ πρῶτον σκοποῦντι πολυποίκιλος φαίνεται, ἡ σύγκρισις καθαρώτερον ἐπέχει φῶς, ἀλλὰ καὶ ἐν μόνῃ τῇ συλλήψει τῆς χρονολογικῆς ταύτης διαφορᾶς πλείστου λόγου σπουδαιότης ἔγκειται, ἅτε ὑποδεικνυούσῃ, ὅτι τὸ μέγα τῶν τύπων πλῆθος δίκην στρωμάτων συνέστη. Ὡς ἐπὶ τῆς γηΐνης ἐπιφανείας ἀρχαιότερα καὶ νεώτερα λιθαργιλλώδη στρώματα ὑπεράνω τε καὶ πλησίον ἀλλήλων κεῖνται, τὴν αὐτὴν καὶ ἡ γλῶσσα παρέχει ἀναλογίαν ἔν τινι τῆς βιωτικῆς αὐτῆς ὑπάρξεως χρόνῳ. Πᾶσα ἄρα θεωρία ἐκ τῶν προτέρων ἐπιζητοῦσα τὰ ἀλλήλοις παρακείμενα ἐκ μιᾶς καὶ τῆς αὐτῆς θεμελιώδους ἰδέας διαλευκᾶναι ἀπορριπτέα ἐστί· τὸ ζήτημα περίπου ἐστὶ τόδε, ἀπ' ἀλλήλων τὰ διάφορα τῶν τύπων στρώματα ἀποχωρίσαι, τά τε ὑπεράνω καὶ τὰ πλησίον κείμενα (1). Κατ' αὐτὸν μόνον τὸν τρόπον δυνάμεθα πρὸς τὴν ἀρχέγονον προσεγγίσαι κατάστασιν, καὶ ἐκ ταύτης ὁρμώμενοι ἀναγνωρίσαι τάς τε πρώτας πρὸς σχηματισμὸν τῆς γλώσσης ἀναφανείσας τάσεις, τήν τε περαιτέρω ἐκβλάστησιν νεωτέρων μορφῶν καὶ τὴν τελευταίαν συμπερίληψιν πάντων τῶν κατὰ μικρὸν γενομένων τύπων εἰς ἀπηρτισμένον καθ' ἑαυτὸ σύστημα ὥστι λογικὸν καὶ σκόπιμον.

Ἡ παρατήρησις τῆς ἐπιστιβάσεως τῶν τυπικῶν στρωμάτων ἄγει δὴ πολὺ περαιτέρω ἢ ὅτι τὸ πρῶτον νομίζοιἄν τις. Ὅτε ὁ Βούττμαννος τὴν τολμηρὰν ἐκείνην κατὰ τοὺς χρόνους αὐτοῦ ἐξεφώνησε φράσιν, ὅτι δὴ ὁ μὲν δεύτερος ἀόριστος ὁ ἀρχαιότερός ἐστιν, ὁ δὲ πρῶτος ὁ νεώτερος τοῦ χρόνου τούτου τύπος, ἐνόμιζε ποιεῖν παρατήρησίν τινα εἰς τὴν τῆς ἑλληνικῆς γλώσσης ἱστορίαν μόνον ἀναφερομένην· ἀλλ' ἐπειδὴ ἔκτοτε ἀνεύρηνται ταῦθ' οὕτως ἔχοντα ἐν ἁπάσαις ταῖς ἄλλαις τῶν εὐρωπαϊκῶν γλωσσῶν, οὐδεμία ἀμφιβολία ἐστίν, ὅτι ταῦτα παναρχαία καὶ πρεσβύτερα τῆς ἀπ' ἀλλήλων ἀποχωρίσεως τῶν ἰνδοευρωπαϊκῶν γλωσσῶν εἰσιν. Ὃ ὡς πρὸς τὸν ἀρχαιότερον νεώτερος θεωρούμενος σχηματισμός, οἷον ὁ τοῦ πρώτου ἀορίστου, ἦν ἔργῳ πρὶν ἢ οἱ πρόγονοι τῶν Ἑλλήνων, Ῥωμαίων, Γερμανῶν καὶ Ἰνδῶν ἀπὸ τῆς κοινῆς ἑστίας ὡς ἰδιαίτεροι λαοὶ μεταναστεύσωσιν· ἀλλὰ καθ' ὅσον ἐνταῦθα περὶ ἀρχαιοτέρων καὶ νεωτέρων τύπων λόγος καὶ πάνυ ὀρθῶς γίγνεται, ἡ ἀποχώρισις αὕτη προϋποτίθησι χρονολογικήν τινα βεβαιότητα κατὰ τοὺς ἀρχαιοτάτους τούτους χρόνους, ἐκ δὲ τῶν προμνημονευθέντων πείθεται καὶ αὐτὸς ὁ σκεπτικώτατος, ὅτι ἐν ταύτῃ τοὐλάχιστον τῇ περιπτώσει ἐνδεχομένη ἐστὶν ἡ χρονολογία.

Ἡ γλωσσολογία ὅμως ὑψηλότερον τοῦ μέχρι τοῦδε ὑποδειχθέντος σκοπὸν προτίθεται, διότι οὔτε ἡ ἀπόδειξις ἀρκεῖ αὐτῇ τῶν συμφωνιῶν, ἃς αἱ ἀνέκαθεν συγγενεῖς ἔχουσι γλῶσσαι, οὔτε ἡ ἐν τῷ ἐσωτερικῷ αὐτῶν διάκρισις ἀρχαιοτέρων καὶ νεωτέρων σχηματισμῶν, ἀλλὰ καὶ τὴν ἀνάλυσιν ἐπιζητεῖ τῶν ὑπαρχόντων ἤδη τύπων εἰς τὰ ἀρχέγονα αὐτῶν στοιχεῖα καὶ τὴν τῶν σκοπῶν ἀνίχνευσιν, οὓς ἄνευ συνειδήσεως τὸ δημιουργικὸν τῆς γλώσσης πνεῦμα προτίθεται. Ἡ δὲ τῶν τύπων ἀνάλυσις ἀπέδειξεν, ὅτι τὸ πολυσχιδέστατον τῶν ῥηματικῶν καὶ πτωτικῶν μορφῶν σύστημα, καθόλου εἰπεῖν, διὰ μέσων ὑπὸ τῆς γλώσσης ἐπετεύχθη θαυμασίων ἐπὶ τῇ ἁπλότητι· ὀλίγα τινὰ μονοσύλλαβα ἀντωνυμικὰ θέματα, σπανιώτερον μὲν πρὸ τοῦ ῥιζικοῦ προστιθέμενα στελέχους, συνηθέστερον δὲ μετ' αὐτό, καὶ ὁτὲ μὲν μόνα, ὁτὲ δὲ σύνδυο καὶ τρία ὁμοῦ, ταῦτά εἰσι τὰ κεφαλαιώδη μέσα καὶ πανταχοῦ τὰ αὐτὰ ἐπανέρχονται. Ἓν σ εἰς τὸ ἀντωνυμικὸν στέλεχος σα ἀνερχόμενον τὴν ὀνομαστικὴν τοῦ ἑνικοῦ ἀριθμοῦ δείκνυσιν, αὐτὸ δὲ τοῦτο καὶ ἴσως τὸ κατ' ἀρχὰς διπλοῦν τὴν τοῦ πληθυντικοῦ· τοῦτο δὲ καὶ ἐν τῇ τοῦ ἑνικοῦ γενικῇ ἀνευρίσκομεν. Τὴν ὀνομαστικὴν ὁδό-ς πρὸς τὴν γενικὴν ποδό-ς συγκρίνοντες τὰ αὐτὰ ἐν τοῖς δυσὶ τύποις στοιχεῖα ἀνακαλύπτομεν, δύναται δέ τις τὴν ἀναλογίαν καταστῆσαι, ὁδός: ἐδ = ποδός: πεδ., ὥστε ὅλως ἂν εἴη ἀκατανόητον, πῶς ὁ μὲν πρῶτος τῶν τύπων ὀνομαστική, ὁ δὲ δεύτερος γενικὴ ἀπέβη, ἂν μὴ παραδεχθῶμεν, ὅτι οἱ τύποι οὗτοι διαφόρων εἶησαν χρόνων ἐπιγεννήματα, ἡ δὲ γλῶσσα τὰ αὐτὰ μέσα διαφόρως κατὰ διαφόρους χρόνους μεταχειρίσαιτο.

Ἐκτὸς δὲ τῶν ἁπλῶν τούτων καὶ εὐαρίθμων μορφωτικῶν συλλαβῶν, ἃς καταλήξεις ἢ ἐπιθέματα (Suffixe) καλεῖν εἰώθαμεν, εἰσὶ καί τινες ὀλίγαι τῶν ῥιζῶν καὶ στελεχῶν ἐσωτερικαὶ μεταβολαί· μία τῶν σαφεστάτων ἡ ἀναδίπλωσίς ἐστιν, ἀλλὰ καὶ αὕτη εἰς διαφόρους χρησιμεύει λειτουργίας, οἷον ἐν μὲν τῷ δι-δά-

(1) Distinguer les différentes couches, λέγει καὶ Bréal ἐν τῷ Οἰδίπου μύθῳ (σελ. 14) περὶ τῆς συγκριτικῆς μυθολογίας τὸν λόγον ποιούμενος.

σκ-ω τὸ τοῦ ἐνεστῶτος χαρακτηρίζει θέμα, ἐν δὲ τῷ δέ-δα-α τὸ τοῦ παρακειμένου, ἐν δὲ τῷ δέ-δα-ο-ν τὸ τοῦ ἀορίστου. Ἔστι κατανοητόν, ὅτι τὸ αὐτὸ μέσον ἐξ ἀρχῆς εἰς διαφόρους λειτουργίας ἐχρησίμευσεν; οὐδαμῶς. Προφανῶς ἐν τῇ τῆς ἀναδιπλώσεως χρήσει σκοπὸς τῆς γλώσσης ἦν τὸ κατ' ἀρχὰς τῆς ἐπαναλαμβανομένης συλλαβῆς ἡ ἔξαρσις, ἡ δὲ διάκρισις ὕστερον ἐπῆλθεν ὡς ἐκ τῆς ἐπιστιβάσεως τῶν ποικίλων τύπων εἰς σύστημα πολυμελές· διότι οἱ διάφοροι τῆς γλώσσης τύποι περιοριζόμενοί τε καὶ προσδιοριζόμενοι ἀμοιβαίως τῇ χρήσει πολὺμᾶλλον ἐπ' ἀλλήλους ἐπιδρῶσιν ἢ τὰ διάφορα τοῦ φθογγικοῦ συστήματος μέρη.

Καὶ ἐν αὐτῇ δὲ τῇ συντάξει ἡ μετ' ἐπιμελείας διαστολὴ τοῦ τί πρότερον καὶ τί ὕστερον ὅλως ἀπαραίτητός ἐστιν. Οὐδεὶς νῦν μοχθεῖ, ὅπως τὴν πτώσεώς τινος ἢ ἐγκλίσεως χρῆσιν ἐκ μιᾶς ἐξαγάγῃ θεμελιώδους ἐννοίας (Grundbegriff), ὡς πρὸ πεντήκοντα ἐποίουν ἐτῶν, ἐξ ἀρχῆς ὑφεστῶσαν ὑποτιθέμενοι αὐτὴν καὶ φιλοσοφικῶς διὰ τῆς τῶν κατηγοριῶν ἐφαρμογῆς ἀνευρεῖν ἐπιζητοῦντες. Οὐδένα νῦν διαλανθάνει, ὅτι τοιαῦται θεμελιώδεις ἔννοιαι ἁπλῶς εἰσι τυπικαὶ ἐξ ἀφαιρέσεως προελθοῦσαι ἀπὸ τοῦ συνόλου τῆς χρήσεως, καὶ τὰς λεπτοτάτας σχέσεις ἀποτυπούσης· ὃς νῦν τὴν φύσιν τῆς ἑλληνικῆς αἰτιατικῆς μετ' ἀπαρεμφάτου ἀνιχνεύει, οὐκ ἀμελήσει εἰς τὴν βαθμιαίαν τῆς συντάξεως ταύτης ἀναδραμεῖν ἀνάπτυξιν, ἥ γ' ἐπὶ μὲν Ὁμήρου περιωρισμένη ἦν, εὐεξήγητος δὲ διὰ τῆς συνηθεστάτης τῇ ἑλληνικῇ συντάξει προλήψεως καθίσταται· ἐκ δὲ παρομοίων καὶ ἐν ἄλλαις γλώσσαις φαινομένων, ἐν τῇ γερμανικῇ π. χ., εὐκολώτερόν τις κατανοήσει τὰς ἁπλουστέρας τοιούτων συντάξεων ἀρχάς, ἐξ ὧν κατὰ μικρὸν τολμηροτέρα τις καὶ λεπτοτέρα χρῆσις ἐπεγένετο· διότι κἀνταῦθα ἡ ἐπὶ μνημείων καὶ αὐθεντικὴ παράδοσις μιᾶς ἑκάστης γλώσσης πρὸς συμπλήρωσιν ἑαυτῆς δεῖται τῶν ἄλλων συγγενῶν γλωσσῶν. Ἡ διάκρισις τῆς ὑποτακτικῆς ἀπὸ τῆς εὐκτικῆς ἐπὶ Ὁμήρου οὐκ ἦν τοσοῦτον ἀκριβής, ὅσον αὐτὴν καθορῶμεν ἐπὶ τῶν ἀττικῶν συγγραφέων· ἂν δὲ ἀπὸ τῆς ἑλληνικῆς ἐξέλθωμεν γλώσσης, πᾶσα τῶν ἐγκλίσεων τούτων διάκρισις παύει. Καίτοι δὲ οὐδόλως ἐσμὲν τῆς γνώμης, ὅτι τῆς γλώσσης οἱ τύποι εἰς ἄλλον τινὰ ἐχρησίμευσαν σκοπὸν ἢ εἰς ἔνδειξιν ὡρισμένως ἀντιληφθεισῶν διαφορῶν τῆς ἐννοίας, ἡ ἀκριβεστέρα ὅμως λογικὴ διατύπωσις καὶ διαφορότης καὶ ὁ εὐκρινὴς τῆς χρήσεως περιορισμὸς ἀναντιρρήτως πολὺ μεταγενέστεράς εἰσιν ἢ τῶν τύπων ἡ δημιουργία. Ἐκτὸς δὲ τῶν αὐτοφυῶν ἑκάστου ἔθνους γλωσσικῶν ἀρετῶν, οὐ μικρὸν εἰς τοῦτο καὶ αἱ πολλαὶ ἐπέδρασαν καὶ ποικίλαι ἐξωτερικαὶ περιστάσεις, οἷον τύπων τινῶν ἡ ἀπώλεια ἐξ ἀποβολῆς προελθοῦσα φθόγγων καὶ ἡ ἐπαισθητὴ ἀνάγκη τῆς τοῦ ἀπολωλότος ἀναπληρώσεως. Ἡ περίπτωσις, ὅτι αἱ δύο κλασικαὶ γλῶσσαι πρωϊμώτατα τὴν ὀργανικὴν ἀπώλεσαν πτῶσιν, τὰ μέγιστα πρὸς ἐξήγησιν συμβάλλεται τῆς τῶν πτώσεων χρήσεως· τῆς δὲ αὐξήσεως ἡ ἀπώλεια ἐν ταῖς ἀρχαίαις τῆς Ἰταλίας γλώσσαις ἔτι μᾶλλον τὴν οὐσιώδη διαφορὰν τῶν λατινικῶν τοῦ ῥήματος χρόνων ἀπὸ τῶν ἑλληνικῶν διασαφεῖ. Εἰ δὲ καὶ παρὰ ταῦτα ἡ χρῆσις τῶν τύπων μᾶλλον αἰνιγματώδης καὶ πολλῷ πρὸς λύσιν χαλεπωτέρα ἐστὶν ἢ ἡ ἀρχὴ αὐτῶν καὶ σύστασις, τούτου αἰτία ὑπάρχει, ὅτι ἔτι πλείονες ἡμῖν προϊστορικαί, τουτέστιν ἐπὶ γραπτῶν μνημείων ἐρειδόμεναι μαρτυρίαι ἐλλείπουσιν ἡμῖν.

Ἐν τοῖς προειρημένοις οὐδὲν ἄλλο ἢ ὑποδεῖξαι ἐπειράθην, ὅπως ἀνυσίμως δύναταί τις τῇ χρονολογίᾳ κατὰ τὰς πολλὰς καὶ διαφόρους τῆς γλώσσης ἐπόψεις χρήσασθαι· ἀλλ' ἡ χρῆσις αὕτη οὐδαμῶς ἐν τοῖς καθ' ἕκαστα ἐπαρκεῖ· ὀφείλομεν περαιτέρω τε καὶ τολμηρότερον χωρῆσαι, τὴν ἱστορίαν ἀποπειρώμενοι τῶν ἰνδοευρωπαϊκῶν γλωσσῶν ὡς ἓν ὅλον χρονολογικῶς κατατάξαι καὶ εἰς περιόδους διελεῖν. Τοιαύτη τῆς ἱστορίας τῶν ἰνδοευρωπαϊκῶν γλωσσῶν διαίρεσις διττῶς ἐστιν ἐφαρμόσιμος, ἐθνογραφικῶς καὶ γλωσσολογικῶς. Καὶ τῆς μὲν ἐθνογραφικῆς διαιρέσεως ὅτι πλείστη ἐγένετο χρῆσις· κατὰ ταύτην ἡ ἱστορία τῆς γλώσσης εἰς δύο κεφαλαιώδεις διακρίνεται περιόδους, εἰς τὴν τῆς συμπαγοῦς καὶ ἀμερίστου ἑνότητος, καὶ εἰς τὴν κατὰ μικρὸν ἐξ αὐτῆς ἀναπτυχθεῖσαν πολλαπλότητα. Τὴν πρώτην περίοδον πρῶτος, ὅσον ἐγὼ οἶδα, προεθνικὴν ὁ Sonne ὠνόμασε (Kuhn's Zeitschr. XII 290). Καίτοι ἡ ὀνομασία αὕτη οὐ κακή, διότι κατὰ ταύτην ὄντως τὴν περίοδον τὴν πρὸ τῆς διαιρέσεως τῶν γλωσσῶν καὶ τῶν λαῶν οὔπω τὰ ὕστερον ἀναβλαστήσαντα καὶ καθ' ἑαυτὰ ὑπάρχοντα ἔθνη ἦσαν, ἀλλ' ὅμως ἐπειδὴ τὸ ἐνιαῖον καὶ ἀδιαίρετον τοῦ ἀρίου στελέχους σύνολον κατ' ἀντίθεσιν πρὸς τἄλλα μεγάλα στελέχη ἕνα λαόν, ἓν ἔθνος ἀπετέλει ἴδιον ἔχον χαρακτῆρα, τὸ ὄνομα προεθνικὴ οὐχ ὅλως ἐπιτυχὲς φαίνεται. Τὴν δὲ γλῶσσαν τῶν ἀρχαιοτάτων τούτων χρόνων ὁ Schleicher, ᾧ κἀγὼ συμφωνῶ, ἰνδογερμανικὴν ἢ ἀκριβέστερον ἀρχέγονον ἰνδογερμανικὴν

καλεῖ (1). Ἡ ὀνομασία «περίοδος τῆς ἑνότητος καὶ περίοδος τῆς πολλαπλότητος» ἔν τινι κατὰ περιόδους θεωρίᾳ ἔσται ἀεὶ ἡ ἁπλουστάτη τε καὶ εὐληπτοτάτη· ὑπὸ ταύτην τὴν ἐθνογραφικὴν ἔποψιν ἡ μὲν τῆς ἑνότητος περίοδος οὐδεμιᾷ διαιρέσει ὑπόκειται, τῇ δὲ τῆς πολλαπλότητος οὐ μόνον δυνατὴ ἡ διαίρεσις, ἀλλὰ καὶ λίαν ἀπαραίτητός ἐστιν. Παρὰ πάντων ὁμολογεῖται, ὅτι τῶν λαῶν ἡ ἀποχώρισις κατὰ μικρὸν ἐγένετο, οὐχ ἧσσον δὲ καὶ περὶ τῶν πλείστων κλάδων ὁμοφωνία ἐπικρατεῖ· ἀλλ' ἐνταῦθα οὐκ ἔστι νῦν ἡ ἐμὴ πρόθεσις εἰς ἀκριβεστέραν εἰσελθεῖν τοῦ ζητήματος τούτου ἐξέτασιν, ὅπερ, ὡς ἐμοὶ δοκεῖ, τότ' ἐπιλυθήσεται τῆς παρούσης ἀπαλλαγὲν καταστάσεως τῶν προσωρινῶν καὶ μᾶλλον ὑποθετικῶν ἀποφάνσεων, ὅταν πολλαὶ εἰδικαὶ ἐπέλθωσιν ἔρευναι. Ἐν τῇ ἐμῇ πραγματείᾳ, «περὶ τῆς τοῦ α διαφθογγώσεως ἤτοι διασχίσεως (Berichte d. königl. Sächs. g. 1864 s. 9) συμβολήν τινα κἀγὼ καταβαλεῖν ἐπειράθην πρὸς λύσιν τοῦ ζητήματος τούτου, ἐξαγόμεναν δὲ τῶν ἐμῶν ἐρευνῶν, καὶ ὅπερ ἐνταῦθα ὡς προσωρινὸν καθυποβάλλω, ἄλλης δὲ πλατυτέρας χρῄζει ἀποδείξεως, ἣν τόδε, ὅτι αἱ ἰνδοευρωπαϊκαὶ γλῶσσαι εἰς δύο μεγάλους διῄρηνται κλάδους, τὸν ἀσιατικὸν καὶ εὐρωπαϊκόν· οὐδόλως σκοπῶν εἰς τοῦτο ἐπανελθεῖν τὸ ζήτημα, τὴν ἐξῆς μόνον παρατήρησιν ποιοῦμαι, ὅτι ἡ θεωρία αὕτη συνᾴδει πάνυ οἷς Müllenhoff ἐν τῇ ἐξαιρέτῳ αὐτοῦ περὶ τῶν Σκυθῶν τοῦ Πόντου διατριβῇ (Monatsber. der Berl. Acad. August. 1866) γέγραφεν ἀριδηλότατα ἀποδεικνύων, ὅτι οἱ Σκύθαι οὗτοι, καίπερ ἐν Εὐρώπῃ οἰκοῦντες, τῇ περσικῇ ἢ ἰρανικῇ οἰκογενείᾳ προσήκουσιν. Καὶ ὄντως τῆς σκυθικῆς γλώσσης τὰ λείψανα μαρτυροῦσιν, ὅτι αὕτη τῶν φωνηέντων τοῦ κλάδου τούτου μετέχει τοὐλάχιστον καθ' ὅσον τῆς διαφθογγώσεως τοῦ α εἰς $\frac{a\ e\ o}{u}$, ὡς ὁ εὐρωπαϊκὸς ἔπραξε κλάδος, ὅλως ἀπέσχε τὸν φθόγγον α διατηρήσασα ἀμέριστον. Παραβαλέτω τις τὸ σκυθικὸν nar ἐν τῷ ὑπὸ Müllenhoff (αὐτ. σελ. 551) ἑρμηνευθέντι ἑ-νάρ-εες = ἄν-ανδρ-οι πρὸς τὸ ἑλληνικὸν ἄ-νερ, καὶ τὸ σαμνιτικὸν ner-o, τὸ δὲ ἀρνητικὸν πρόθεμα ἐ (1) πρὸς τὸ ἑλλ. αν, τὸ ἀρχ. ἰταλ. an καὶ τὸ ἀρχ. ἀν. γερμ. un· τοῦ δὲ ἐν σελ. 563 ἀναφερομένου Ἀρδ-άβδα ἑπτάθεος τὸ ἄβδα πρὸς τὸ σανσ. saptan, ἑλλ. ἑπτά, λατ. septem, γοτθ. sibun, λιθ. septyni, ἐκκλ. σλαβ. sedmi· ἡ δὲ τῶν πολυαρίθμων σκυθικῶν λέξεων κατάληξις -ασπος πρὸς τὸ ἑλλ. ἵππος ἀντιστοιχεῖ, λατ. equos, ἀρχ. γερμ. ehu, λιθ. aszwâ, ἐν ᾧ μόνῳ τὸ ἀρχαῖον διετηρήθη α.

Μεταβῶμεν ἤδη εἰς τὴν καθαρὰν γλωσσολογικήν, ἣν δυνάμεθα καὶ γενετικὴν καλέσαι. Ὁ W. von Humboldt τῆς ἱστορίας πασῶν τῶν γλωσσῶν δύο κεφαλαιώδεις διακρίνει περιόδους, ἐξ ὧν τὴν μὲν πρώτην, ἐν ᾗ τῆς γλώσσης ἡ κατασκευὴ τὸ ἑαυτῆς οὐσιῶδες λαμβάνει σχῆμα, ὀνομάζει ἐν τῇ πραγματείᾳ π. χ. περὶ τῆς συγκριτικῆς σπουδῆς τῶν γλωσσῶν (ἰδ. Ἁπάντων τομ. Γ', σελ. 246) περίοδον τῆς ὀργανώσεως, τὴν δὲ δευτέραν, ἐν ᾗ ἀφ' οὗ ἡ τῆς γλώσσης κατασκευὴ συμπληρωθῇ καὶ σύμπηξίς τις ἢ κρυστάλλωσις (ἰδ. üb. d. verschiedenh. des menschl. Sprachbaues. 191) ἐπέλθῃ, ἔνθεν μὲν λεπτοτάτη τις τοῦ χαρακτῆρος ἀναφαίνεται τελειότης, ἔνθεν δὲ ἀπάμβλυνσις τῶν φθόγγων, καλεῖ περίοδον τῆς διαμορφώσεως· ἐκ ταύτης τῆς δυάδος τῶν κεφαλαιωδῶν περιόδων οὐ δυνάμεθα ἐξελθεῖν· αὕτη διὰ πασῶν τῶν ἰδιαιτέρων γλωσσολογικῶν ἐρευνῶν διήκει. Ἐν παντὶ ζητήματι ἑκάστης γλώσσης εἴτε ἐτυμολογικῷ εἴτε γραμματικῷ δύο τινὰ κυρίως ἔχομεν ἐξετάσαι, πρῶτον μὲν ἐκ τῶν διδομένων τύπων εἰς τὸν ἀρχέγονον ἀνελθεῖν τὸν ἀριακόν, ταῦτα δὲ ποιοῦντες εἰς τὴν δευτέραν στρεφόμεθα περίοδον· δεύτερον τὴν ἀρχὴν τοῦ οὕτως ἐπιτευχθέντος θεμελιώδους τύπου διασαφῆσαι, ὅπερ ὅλως τῇ πρώτῃ προσήκει περιόδῳ. Ἔστιν ὅτε ὁλοσχερῶς τὴν τελευταίαν ἐργασίαν ἀπὸ τῶν ἱστορικῶν περὶ φθόγγων ἐρευνῶν ἀποκλεῖσαι δυνάμεθα, ὅτε τὰς βαθμιαίας πρόκειται μεταβολὰς σαφοῦς τινος θεμελιώδους τύπου ἀποδεῖξαι· ἀλλὰ πᾶν πρὸς τὰ περαιτέρω βῆμα ἄγει ἡμᾶς πρὸς τὸν περίβολον ἐκεῖνον καὶ ἀναγκάζει γνώμην ἀποφήνασθαι περὶ τῆς συστάσεως καὶ τῆς

(1) Καὶ ἡ ὀνομασία αὕτη ἀκατάλληλος, διότι κατὰ τὴν τῆς ἑνότητος περίοδον οὔτε Ἰνδοὶ οὔτε Γερμανοὶ ἦσαν οὔτε ἄλλος τις λαός· ὀρθοτέρα οὖν φαίνεται ἡ περιφραστικὴ κλῆσις, ἀρχέγονος ἀρία γλῶσσα καὶ ἀρχέγονος ἀρία φυλή· ὅτε δὲ μετὰ τὴν διαίρεσιν καὶ διασπορὰν ἤτοι κατὰ τὴν περίοδον τῆς πολλαπλότητος ὁ λόγος περὶ τοῦ συνόλου τῶν ἀρίων γλωσσῶν, ἡ ὀνομασία ἰνδοευρωπαϊκὴ ὀρθοτέρα ἐστὶ τῆς ἰνδογερμανικῆς. Σημ. Η. Β.

(1) Τὸ ἀρνητικὸν ὅμως τοῦτο ε ἐπέχον τὸν τόπον τοῦ ἀρχαίου α ἐν τῷ ἑλλ. α ν καὶ ἐν τῷ ἀρχ. ἰταλ. an διατηρηθέντος, ἀναιρεῖ πως τὴν γνώμην τοῦ Κουρτίου, καθ' ἣν οἱ Σκύθαι ὤφειλον μᾶλλον τὸν φθόγγον α διατηρῆσαι. Σημ. Η. Β.

ΒΙΒΛΙΟΘΗΚΗ Μ. ΛΟΥΚΡΕΖΗ ΧΑΛΚΙΔΑ - 1969

ἀρχεγόνου ἀξίας τοῦ ἐν τῇ πρώτῃ περιόδῳ δημιουργηθέντος. Ἡ καθ' Οὐμβόλδον τῶν δύο περιόδων ὀνομασία, καίτοι πανταχοῦ οὐκ ἐτήρησεν αὐτὴν σταθερῶς, τοῦτ' ἔχει τὸ καλόν, ὅτι εὔληπτος καὶ καθόλου ὀρθή ἐστιν· ἂν σύνολόν τι πολυμελὲς μέν, ἐν σταθερᾷ δὲ συγκρατούμενον ἑνότητι καὶ σκοπόν τινα ἐκπληροῦν, ὀργανισμὸν καλῶμεν, καὶ ἂν τοῦτο ἐν τῇ πρώτῃ τῶν δύο περιόδων τὸ ἑαυτοῦ οὐσιῶδες σχῆμα λαμβάνῃ, οὐχ ὁρῶ εἴτι μέγα δυνάμεθα κατὰ τῆς ἐκφράσεως, περίοδος τῆς ὀργανώσεως, ἀντιτάξαι.

Οἱ τύποι πάντων τῶν οὐσιωδῶν τῆς γλώσσης σχηματισμῶν ὤφειλον εἶναι ἐν ταύτῃ τῇ περιόδῳ δεδημιουργημένοι, ἐφ' ᾧ καὶ ἐν πάσαις ταῖς συγγενέσι γλώσσαις οἱ αὐτοί εἰσιν· ἡ δ' ἐπιγενεστέρα περίοδος νέα τινὰ παρέσχεν ἔτι ἐκτυπώματα τῶν τύπων τούτων ὀλίγον τι παρηλλαγμένα καὶ πρὸς ἰδιάζουσαν χρῆσιν, ἀλλ' οὐδένα νέον ἐκ τῶν θεμελιωδῶν δεδημιούργηκε τύπων. Τὴν πρώτην περίοδον κατ' ἄλλην εἰκόνα ἠδυνάμεθα τὴν τῆς αὐξήσεως καλέσαι· διότι κατὰ τὴν τελευτὴν ταύτης τῆς περιόδου τὸ σῶμα τῆς γλώσσης τοῦ σταθεροῦ αὐτοῦ ἐφικνεῖται σχήματος, τοῦ δὲ λοιποῦ ἐντὸς τῶν ὁρίων τούτων πᾶσαν ὑφίσταται μεταβολήν, ἀφίχθη εἰς τὸ τῆς αὐξήσεως αὐτοῦ τέρμα. Σημεῖον τῆς δευτέρας περιόδου οὐκ ἐλάχιστόν ἐστιν ἡ βαθμιαία τῆς ἐξωτερικῆς τῶν φθόγγων καταστάσεως τριβὴ καὶ μείωσις· ἀλλ' εἰς ἁμάρτημα περιπεσεῖται, εἴ τις κατ' ἀντίθεσιν πρὸς τὴν τῆς αὐξήσεως τὴν δευτέραν καλέσειε περίοδον τῆς παρακμῆς· διότι ὡς ὅτε ἡ αὔξησις εἰς τὸ ἔπακρον αὐτῆς ἀφικνεῖται τέρμα, οὐκ εὐθὺς τὸ γῆρας ἐπέρχεται, οὕτω κἀνταῦθα οὐκ ἄμεσός ἐστιν ἡ πραγματικὴ τοῦ ὀργανισμοῦ φθορά· ἡ ἀρχὴ τῆς τῶν φθόγγων παθήσεως συνδέδεται τῇ μεγάλῃ τοῦ ἤδη δεδημιουργημένου χρήσει. Εἰς ταύτην τὴν περίοδον ἀνάγονται τὰ ἰδιάζοντα πλεονεκτήματα, καθ' ἃ π. χ. ἡ ἑλληνικὴ ἀπὸ τῆς σανσκρίτης διακρίνεται· εἰς ταύτην ὡσαύτως καὶ ἡ μόρφωσις τοῦ ἀπαρεμφάτου, ὃ ἑκάστη τῶν συγγενῶν γλωσσῶν διαφόρῳ παρήγαγε τρόπῳ, καὶ ἀπὸ ἄλλων κατώρθωσεν ὀνοματικῶν τύπων διακρῖναι. Καὶ ἡ τῆς προτάσεως δὲ κατασκευή, καθ' ὅσον περὶ ἄλλου ἢ περὶ τῶν ἁπλουστάτων πρόκειται τύπων, τότε ἐκανονίσθη. Μεγάλη δ' ἂν εἴη μονομέρεια, ἂν πάντα ταῦτα ἐν μηδεμιᾷ λογίζωνται μοίρᾳ, ἡ δὲ πρώτη περίοδος οἱονεὶ ἀπολωλώς τις παράδεισος θεωρῆται. Δεῖ ὅμως εἰδέναι, ὅτι τῶν θεμελιωδῶν τύπων οἱ οὐσιῶδες τῇ κατασκευῇ τῶν ἰνδοευρωπαϊκῶν γλωσσῶν ὑποφθογγώσεις ἤδη ὑποφαίνουσιν, αἳ οὐ μόνον οὐδαμῶς τὴν τῶν ἰδιαιτέρων τύπων παραβλάπτουσι κατάρτυσιν, ἀλλὰ μᾶλλον καὶ συντελοῦσιν· ὅτι τὸ da-dâ-mi ἧττον ὀργανικόν ἐστι τοῦ ἐξ οὗ προῆλθε da-dâ-ma, οὐδεὶς ὁ ἀξιώσων· καὶ ὅμως φθογγικῶς ἀσθενέστερόν ἐστιν. Τὸν σκοπὸν πάσης γλώσσης, ὅπως εἰς ἔκφρασιν χρησιμεύῃ τῶν διανοημάτων, αἱ γλῶσσαι ἀναμφιβόλως κατὰ τὴν δευτέραν περίοδον κάλλιον ἐκπληροῦσιν ἢ ἡ ἀρχιγενεθλος ἐκείνη κατὰ τὴν πρώτην. Εἰδέ τις ἄλλας εἰκόνας ἐπιζητῆσαι βούλεται, ἀναπολησάτω τὴν ἔκφρασιν λείανσιν (abschleifung) τὰς δύο περιπτώσεις, αἵγ' ἐνταῦθα οὐσιώδεις εἰσίν, περιλαμβάνουσαν, τὴν τῆς ὑλικῆς μειώσεως καὶ τὴν τῆς μείζονος λειότητος καὶ λεπτότητος· ἀλλὰ φόβος μὴ εἰς παρεξηγήσεις δῷ ἀφορμήν, ὅτι δὴ ἐξωτερική τις δύναμις ἐπὶ τῆς γλώσσης ἐνεργοῦσα τὴν μεταβολὴν ἐπήνεγκεν. Ἐπειδὴ λοιπὸν ἡ διαμόρφωσις διακρίνεται τῆς μορφώσεως, καὶ κατ' ἐξοχὴν λέγεται περὶ τελειοποιήσεως προϋπαρχούσης ἤδη μορφώσεως, ἡ ὀνομασία περίοδος τῆς διαμορφώσεως ἀρκούντως ἐπιτηδεία ἐστὶν εἰς δήλωσιν τοῦ οὐσιώδους τῆς περιόδου ταύτης.

Ζητητέον νῦν, ὅπως ἡ δευτέρα αὕτη διαίρεσις, ἡ γλωσσολογική, πρὸς τὴν πρώτην ἔχει, τὴν ἐθνογραφικήν· ὃ σαφὲς πάνυ ἐνταῦθά ἐστι τόδε, ὅτι ἡ μὲν τῆς ὀργανώσεως περίοδος τῇ τῆς ἑνότητος, ἡ δὲ τῆς διαμορφώσεως καὶ καλλιεργείας τῇ τῆς πολλαπλότητος οὐχὶ ὅμως κατὰ πάντ' ἀκριβῶς συμπίπτει. Ὅτι ἡ ὀργάνωσις ἦν ἤδη ἐπὶ τῆς περιόδου τῆς ἑνότητος ἐντελῶς συμπεπληρωμένη οὐδεὶς ἀμφιβάλλων· ἀλλ' οὐδεὶς διϊσχυρισθήσεται, ὅτι καὶ ἡ τῆς διαμορφώσεως ἅμα τῇ τῆς πολλαπλότητος περιόδῳ τὸ πρῶτον συνέστη. Ὅταν σταθμησώμεθα, μεθ' ὅσης μὲν σταθερότητος πάντες οἱ οὐσιώδεις τύποι παρὰ τοῖς διαφόροις τοῦ ἡμετέρου στελέχους κλάδοις ἀντέχουσιν ἢ ἀρίδηλα καταλείπουσιν ἴχνη, μεθ' ὅσης δὲ ἀσφαλείας ἕκαστος αὐτῶν πιστὸς τῇ ἑαυτοῦ ἐμμένει περιοχῇ, ὅσον δὲ μεγάλαι αἱ συμφωνίαι οὐ μόνον ἐν ταῖς ῥίζαις εἰσὶν ἀλλὰ καὶ ἐν ταῖς ἐξ αὐτῶν λέξεσιν, ἐπὶ τὸ λεπτότατον πολλάκις ἔν τε ταῖς καταλήξεσιν καὶ ἐν τῇ ἰδίᾳ ἑκάστων χρήσει διατετυπωμέναις, εἰς τὸ συμπέρασμα προαγόμεθα, ὅτι ὁ ἀρχέγονος τῶν Ἀρίων λαὸς μακρὸν ὅσον κατέτριψε χρόνον εἴς τε τοὺς τύπους καὶ εἰς τὰς λέξεις ἐγγυμναζόμενος, πρὶν ἢ διὰ τῆς διασπορᾶς ὁ κίνδυνος ποικίλων φθορῶν ἐμπέσῃ. Πολλά τινα κοινὰ ἁπάσαις ταῖς συγγενέσι γλώσ-

σαις συνθηματικὸν φέρουσι χαρακτῆρα, οἷον τὰ τῶν ἀριθμῶν ὀνόματα, ὧν τὸν μὲν θεμελιώδη σχηματισμὸν ἀνιχνεῦσαι δυνάμεθα, οὐχὶ δὲ καὶ τὴν πρώτην ἀνευρεῖν σημασίαν· ἴσως δὲ καὶ αὐτοῖς τοῖς Ἀρίοις, πρὶν ἢ εἰς διαφόρους ἀποσχισθῶσι κλάδους, ἡ λέξις katvar, ὁ θεμελιώδης τοῦ τέσσαρα τύπος, τοσούτῳ αἰνιγματώδης ἦν, ὅσῳ καὶ ἡμῖν. Οὐδαμοῦ ἐνταῦθα σαφεῖς σχέσεις ῥιζῶν καὶ ἐπιθεμάτων ἐν συνήθει χρήσει ἐκφαίνονται· ἀλλ' ἐπειδὴ τοιαῦτα προσάμματα ἑτέρῳ τῆς γλώσσης θησαυρῷ ὑπῆρξάν ποτε κατ' ἀνάγκην, ἡ ὕπαρξις τοιαύτης παρεστραμμένης, οὕτως εἰπεῖν, λέξεως δείκνυσιν, ὅτι ποικίλαι ἤδη τῇ γλώσσῃ ἐπισκοτήσεις καὶ ἀπώλειαι τοῦ γλωσσικοῦ πλούτου ἐπῆλθον. Τοιαῦται ὅμως ἐπισκοτήσεις μαρτύρια τῆς δευτέρας περιόδου εἰσίν. Τὸ αὐτὸ δὲ καὶ ἐπὶ τῶν προσωπικῶν τοῦ ῥήματος καὶ τῶν πτωτικῶν καταλήξεων παρατηροῦμεν· ἐνταῦθα ἡ ἀρχέγονος τῶν φθόγγων κατάστασις μόλις μαντεύεται· ὡς πρὸς τὸ πρῶτον π. χ. τοῦ πληθυντικοῦ πρόσωπον οὐ περαιτέρω χωροῦμεν τοῦ σχηματισμοῦ da-dâ-ma-si ὡς ἀριακοῦ θεμελιώδους τύπου, ἀλλὰ πιθανῶς καὶ οὗτος ἄλλου ἀρχαιοτέρου, τοῦ da-dâ-ma-tva, ἐξασθένισίς ἐστιν. Ὁ τελευταῖος ἢ τοιοῦτός τις, da-dâ-ma-vti ἔμελλεν ὁ τύπος τῆς περιόδου τῆς ὀργανώσεως εἶναι. Ὡςαύτως χρόνου τινὸς χρεία, ὅπως ἐκ τοῦ ὀργανικοῦ θεμελιώδους τύπου var-ka-sa ὁ ἰνδοευρωπαϊκὸς θεμελιώδης σχηματισμὸς var-ka-s προκύψῃ· ἴσως ἐνταῦθα μεσοβάθμιοί τινες ὑπῆρξαν τύποι, οἷον ὁ var-ka-si. Τοιαῦται ὑποφθογγώσεις καὶ ἀπώλειαι, ἃς διακριτέον ἐστὶν ἀπὸ τῶν ὑστερογενῶν τῶν πολὺ ἰσχυροτέρων καὶ ποικιλωτέρων, οὐδαμῶς παρέβλαψαν, ἀλλὰ τοὐναντίον καὶ εἰς τὸν τῆς γλώσσης σκοπὸν συνετέλεσαν. Οὗτοι οὐ μᾶλλον ἐκ τῆς ῥᾳθυμίας καὶ διευκολύνσεως τοῦ ὀργάνου τῆς γλώσσης προέρχονται ἢ ἐκ τῆς ῥοπῆς καὶ ἐρέσεως, ὅπως οἱ νεοσχημάτιστοι τύποι μὴ πολυσύλλαβοι μηδὲ βαρύσταθμοι γένωνται χρησιμεύωσί τε εἰς τὴν ἀρχὴν (principe) τῆς ἑνότητος τῆς λέξεως. Ἡ δὲ μακροτέρα τῆς ἀμερίστου συμβιώσεως τοῦ ἀρχιγενέθλου ἀρίου λαοῦ διάρκεια καὶ ἐξ ἄλλων πολλῶν ἐπιβεβαιοῦται μαρτυρίων, τῆς κοινῆς δηλ. θρησκείας, τῆς μυθικῆς ποιήσεως, τῶν ἠθῶν καὶ λοιπῶν, περὶ ὧν ὁ Pictet ἐν τῷ ἐκτενεστάτῳ αὐτοῦ συγγράμματι (*Origines Indoeuropéennes*) πραγματεύεται. Ἀλλὰ καὶ περὶ θεμελιώδους τινὸς ἀριακοῦ μέτρου νῦν μετὰ τὴν θαυμασίαν τοῦ Westphal ἀπόδειξιν μόλις ἀμφιβάλλειν ἔξεστιν· ἐνὶ λόγῳ οὐδόλως ἀποπλανώμεθα, ἂν ὑποστηρίξωμεν, ὅτι ἡ τῆς διαμορφώσεως περίοδος ἐν τῇ περιόδῳ ἤδη τῆς ἑνότητος τὴν ἀρχὴν εἴληφεν· ὥστε αἱ δύο ἐκεῖναι οὐσιώδεις διαιρέσεις κατὰ ταύτην τοὐλάχιστον τὴν σχέσιν διασταυροῦνται.

Ἐν τῇ παρούσῃ διατριβῇ ὅλως τὴν ἐθνογραφικὴν παραλείποντες διαίρεσιν, πρὸ ὀφθαλμῶν μόνον τὴν γλωσσολογικὴν ἔχομεν· πρὸς λεπτομερῆ δὲ τῶν δύο μεγάλων αὐτῆς καὶ κεφαλαιωδῶν περιόδων ἔκθεσιν ἀπαιτοῦνται, ὡς εἰκός, καὶ ἐπεξεργασίαι ὅλως διάφοροι. Ἡ δευτέρα, ἡ τῆς διαμορφώσεως, ἅτε δὴ εἰς ὅτι πλεῖστον τῇ τῶν γλωσσῶν διαιρέσει συμπίπτουσα, ὕλην καθ' ὑπερβολὴν πλουσίαν περιλαμβάνει. Ἡ διαίρεσις τῶν ἐρευνῶν ἐν τούτοις ἀπαραίτητός ἐστι· διότι οὐδεὶς μόνος δύναται πᾶσαν τὴν τεραστίαν τῆς ὕλης πληθὺν περιβαλεῖν. Ἐνταῦθα οὐ μικρὸς πρόκειται ἀγών, ἡ συμπλήρωσις τοῦ χάσματος τοῦ μεταξὺ τῶν παναρχαίων χρόνων καὶ τῆς ὑπὸ ἱστορικῶν μνημείων μαρτυρουμένης ὑπάρξεως ἑκάστης γλώσσης ἢ κλάδου· ἀλλ' ἡμεῖς πρὸ ὀφθαλμῶν ἔχοντες ὡς τελευταῖον σκοπὸν πάντοτε τὴν ἑλληνικήν, ὠφείλομεν κατὰ ταύτην τὴν περίοδον ἐξετάσαι τίνας διαφόρους βαθμοὺς διελθόντες οἱ ἰνδοευρωπαϊκοὶ φθόγγοι καὶ τύποι βαθμιαίως ἑλληνικοὶ ἀπέβησαν. Τὸ πρόβλημα τοῦτο εἴη ἂν κατὰ τόδε τοὐλάχιστον ἐπιλύσιμον, ὅτι πολλὰς δυνάμεθα προβαλέσθαι σειρὰς πραγμάτων μετ' ἀκριβείας ἐγνωσμένων· χαλεπώτερον δ' ἐστὶ τὸ πρὸς ἀλλήλας τὰς σειρὰς ταύτας συναρμολογῆσαι. Ἀλλ' ἂν τὰ κυριώτατα τῆς ἱστορίας τῶν φθόγγων ὡς κρηπῖδα βάλωμεν, μετ' ἀσφαλείας πολλάκις, ὡς νομίζω, κατορθώσομεν διαγνῶναι τί τὸ πρότερον καὶ τί τὸ ὕστερον. Αἱ περὶ ταύτης τῆς δευτέρας περιόδου ἔρευναι φέρουσι κατ' ἀνάγκην εἰς εὐρύ πως στάδιον. Ἀλλὰ περὶ τούτου ἐς ἄλλοτε λόγον ποιήσασθαι ἀνατίθεμαι.

Περὶ δὲ τῆς περιόδου τῆς ὀργανώσεως τοὐναντίον οὐδὲν ἄλλο τοὐλάχιστον ἐπὶ τοῦ παρόντος δυνάμεθα ἢ δοκίμιόν τι ὑποτυπῶσαι, καὶ ὡς πρὸς τὴν διαδοχὴν τῶν κυριωτάτων τῆς γλώσσης φαινομένων σκέψεις τινὰς ὑποβαλεῖν, αἵ γε τοσοῦτῳ μᾶλλον ὑποθετικὸν ἕξουσι χαρακτῆρα, ὅσῳ ἂν σπουδαιότατοι καταβληθῶσιν ἀγῶνες, ὅπως μηδὲν ἀναπόδεικτον ὑποστηριχθῇ· ἀλλὰ τοιαῦται ὑποθέσεις τῇ ἡμετέρᾳ ἐπιστήμῃ ὅλως ἀπαραίτητοί εἰσιν. Ἀφ' οὗ πλέον ἢ πεντήκοντα ἔτη τῶν τύπων ἑκάστων ἡ ἀνάλυσις μετὰ ζήλου ἐπεζητήθη, ἀναγκαῖον καθίσταται ἵνα πειραθῶμεν τούτους μὴ μόνον περὶ τῶν ὑπὸ ἱστορικῶν μνημείων ἐπιμαρτυρουμένων χρόνων τοῦ γλωσσι-

κοῦ βίου συμπεριλαβεῖν καὶ συνεπιθεωρῆσαι, ἀλλὰ τοιοῦτόν τι καὶ περὶ τῶν παλαιφάτων ἐκείνων χρόνων ἐπιτολμῆσαι. Κατὰ ταύτην τὴν ἔννοιαν καὶ Steinthal ἤδη ἐν τῇ Χαρακτηριστικῇ τῶν κυριωτάτων τύπων τῆς κατασκευῆς τῆς γλώσσης σελ. 277 ἀποπειρᾶται τὸν σχηματισμὸν τῆς σανσκρίτης γλώσσης ἀπὸ τῆς τῶν ῥιζῶν δημιουργίας μέχρι τῆς τελείας τῶν λέξεων μορφώσεως οὐ μόνον ὡς θεωρητικὸν ἀποκύημα ἀλλὰ καὶ ὡς ἐν χρόνῳ ἀναπτυχθὲν παραστῆσαι, ἅμα δὲ καὶ σχέδιόν τι σκιαγραφεῖ τῆς τῶν ἰνδοευρωπαϊκῶν γλωσσῶν ἀναπτύξεως, οὗ πολλάκις ἀνθεξόμεθα.

Προφυλακτέον δὲ τοιαύτας ἀποπείρας συμπεριβολῆς καὶ συνεπιθεωρήσεως ὡς περιττὰς κρίνειν· διότι πᾶσα ἰδιαιτέρα ἀπόφασις τότε τὸ ἑαυτῆς λαμβάνει κῦρος, ὅταν εἰς μεγάλην τινὰ σειρὰν ἀληθειῶν ἀλλήλαις συνεχομένων ἀνάγηται, ἱστορικὴ δέ τις ἀπόφασις (καὶ πᾶσα γλωσσολογικὴ τοιαύτη τίς ἐστι) τότε κρατύνεται, ὅταν ἔν τινι γενικῇ καὶ ἀποχρώσῃ περιγραφῇ τῆς ἀναπτύξεως τοῦ περὶ οὗ πρόκειται τὴν προσήκουσαν καταλαμβάνῃ χώραν. Ἀποπειραθῶμεν οὖν ἐν τούτῳ τῷ δοκιμίῳ τὴν ἀνάπτυξιν σκιαγραφῆσαι, ἥπερ εἰς τοὺς παλαιτάτους ἀνέρχεται χρόνους τοῦ βίου τῶν λαῶν.

Α. ΠΕΡΙΟΔΟΣ ΤΩΝ ΡΙΖΩΝ.

Ἀντὰ τελευταῖα ἀμέριστα, ἢ ὡς ὁ Max Müller αὐτὰ καλεῖ, τὰ συστατικὰ τῆς γλώσσης στοιχεῖα ὀνομάσωμεν ῥίζας, ὀφείλομεν παραδέξασθαι, ὅτι πάσης γλώσσης ἡ κατασκευὴ ἀπὸ τῆς τῶν ῥιζῶν δημιουργίας ἤρξατο. Περὶ τούτου πάντες (1) σχεδὸν οἱ νεώτεροι τῶν γλωσσολόγων συμφωνοῦσιν· ἂν δ' ἔτι πλέον τὰς ῥίζας οὐχ ὡς ἁπλῶς ἀφαιρέσεις ἤτοι βοηθητικὰ τῇ ἐπιστημονικῇ μεθόδῳ θεωρήσωμεν σχήματα, ἀλλ' ὡς πραγματικὰ ὄντα, ἤτοι ἀρχιγενέθλους λέξεις καὶ ἐν τῇ περιόδῳ τῆς δημιουργίας τῆς γλώσσης αὐθυπάρκτους (ἰδ. Ἐγχειρ. Ἑλλ. Ἐτυμ. ἐκδ. 3, σελ. 45), καὶ ἐν τούτοις συμφωνῶ αὖθις τοῖς γλωσσολόγοις, οἷοι Bopp, Max Müller, Heyse, Schleicher καὶ λοιποί· ἀνύπαρχωσι γλῶσσαι, ὡς ἡ σινική, εἰς μονοσυλλάβους μὲν ἐπαρκούμεναι λέξεις, εἰς οὐδεμίαν δὲ ὑποκείμεναι μεταβολήν, οὐδὲν κωλύει τοιαύτην τινὰ ὑποθεῖναι κατάστασιν καὶ τῶν περὶ ὧν ἐνταῦθα ὁ λόγος γλωσσῶν, καὶ αὕτη ἡ ὑπόθεσις πολὺ πιθανωτέρα φαίνεταί μοι ἀεὶ ἔτι ἢ ἄλλαι θεωρίαι.

---

(1) Ὀφείλω ὑπομνῆσαι, ὅτι διάσημός τις γλωσσολόγος ἑτέρας ἐστὶ γνώμης. Ὁ Benfey καίπερ πρότερον τῶν ἑλληνικῶν ῥιζῶν συντάξας λεξικὸν (Griechisches würzellexikon), ὕστερον ἐν τῷ ἑαυτοῦ συγγράμματι, Skizze des organismus der indogermanischen Sprachen (Δοκίμιον τοῦ ὀργανισμοῦ τῶν ἰνδογερμανικῶν γλωσσῶν) καὶ μετὰ πλείονος πεποιθήσεως ἔτι ἐν τῇ τοῦ Kuhn's ἐφημερίδι IX 81 πᾶσαν τὴν περὶ ῥιζῶν κατεπολέμησε θεωρίαν, καὶ πρῶτον κατ' αὐτῆς (IX 96) ὡς ἰσχυρὸν ἐπιχείρημα ἀντέταξεν, ὅτι τὸ ἰνδογερμανικὸν γλωσσάριον, ἐκτὸς τῶν ἐπὶ ἀντωνυμιῶν, μορίων καὶ ἐπιφωνημάτων στηριζομένων σχηματισμῶν, εἰς ῥήματ' ἀνάγεται. Ἀλλὰ τί ὑπὸ ταύτην τὴν ἔννοιαν ἰδίᾳ ὡς ῥήματα ἐννοητέον, οὐδαμοῦ σαφῶς λέγεται. Ἐπειδὴ οὐ μικρὰ τῶν μύθων μοῖρα, ὅσοι πρὸς ὑποστήριξιν τῆς θεωρίας ταύτης κατεβλήθησαν, εἰς τοῦτο ἄγει, ὅπως τὰ μὲν οὐσιαστικὰ καὶ ἐπιθετικὰ στελέχη εἰς μετοχικὰ ἀναχθῶσι, ταῦτα δὲ εἰς τὸ τρίτον τοῦ πληθυντικοῦ ἀριθμοῦ τῆς ἐνεργητικῆς ὁριστικῆς πρόσωπον, φαίνεται τὸ κατ' ἀρχάς, ὅτι ῥῆμα ἐνταῦθα σημαίνει περίπου ὡρισμένον ῥῆμα (verbum finitum), ἤτοι τύπον τοῦ ὡρισμένου ῥήματος· ἀλλὰ καθ' ὅσον ἡ πραγματεία προβαίνει, ἡ ἔννοια τοῦ ῥήματος εἰς ἄλλην ὅλως ἀντίθετον μεταβάλλει. Ἀπὸ τῆς 120 σελίδος καὶ ἑξῆς ὁ συγγραφεὺς ἀποδεῖξαι πειρᾶται, ὅτι καὶ αἱ ἀντωνυμίαι, αἷς ὅμως ἐν σελ. 96 ἰδίαν τινὰ ἀπένειμεν ὕπαρξιν, ἐκ ῥημάτων παρήχθησαν· ἀλλ' ἐπειδὴ ἕκαστος τοῦ ὡρισμένου ῥήματος τύπος, ὡς καὶ αὐτὸς ὁ Benfey παραδέχεται, ἐν τῇ αὐτοῦ καταλήξει ἀντωνυμίαν τινὰ περιέχει, οὐκ ἔστι δὲ γνώμης, ὅτι ἡ ἀντωνυμία πρότερον κατάληξις ἦν, πρὶν ἡ αὐθύπαρκτος ὑπάρξῃ λέξις, ἕπεται ὅτι ἐνταῦθα ῥῆμα περίπου νοεῖται τὸ ῥηματικὸν στέλεχος, ἢ ἦν καὶ ὁ συγγραφεὺς ἔστιν ὅπου μεταχειρίζεται ἔκφρασιν ῥηματικὸν θέμα (verbal thema)· ἐν δὲ τῇ σελίδι 125 κατὰ ταῦτα παραδέχεται ὅτι «χρείας συμπεσούσης τὰ ῥηματικὰ θέματα καὶ εἰς παράστασιν ἀντικειμένων χρησιμεύουσι», δηλαδὴ ἐν ἄλλαις λέξεσι δύνανται καὶ εἰς ὀνοματικὴν λαμβάνεσθαι χρῆσιν, καὶ μόνον διὰ τῆς διαμέσου βαθμίδος τοῦ ὀνόματος νομίζει ὁ Benfey, ὅτι δύναταί τις ἐκ τοιούτων ῥηματικῶν θεμάτων τὰς ἀντωνυμίας παράγειν· εἰς τὸ αὐτὸ δὲ καταλήγει συμπέρασμα καὶ ἐν Orient und Occident II 744, ἀποφαινόμενος μάλιστα, ὅτι «ὑπὸ τὴν ῥηματικὴν περίοδον ἑτέρα τις ὑπολανθάνει ἔποψις»· ἀλλὰ τοιαῦτα ῥηματικὰ θέματα δυνάμενα καὶ ὀνοματικῶς λαμβάνεσθαι τί ἄλλο εἰσὶν ἢ αὐταὶ ἐκεῖναι αἱ ῥίζαι, ἃς ὁ Benfey ἀπορρίπτει ἅμα τῆς αὐτοῦ πραγματείας ἀρχόμενος; τὸ αὐτό ἐστι πρᾶγμα ὑπ' ἄλλο μόνον ὄνομα· ἀλλ' εἴπερ τοιαῦται ἀρχέγονοι ἑνότητες εἰς ῥηματικὴν καὶ ὀνοματικὴν λειτουργίαν ἦσαν ἐπιτήδειαι, εἰ δὲ καὶ ἀντωνυμικὰ στελέχη ὑπῆρχον εἴτ' ἐξ ἀρχῆς εἴθ' ὕστερον ἐξ αὐτῶν προελθόντα, τί κωλύει τὰ τελευταῖα τοῖς πρώτοις συνάπτεσθαι πρὸς παράστασιν, ὡς ῥηματικῶν, οὕτω δὴ καὶ ὀνοματικῶν τύπων ἐκφαντικωτέρων; πόθεν ἡ ἀξίωσις πιστεύειν, καὶ βεβαίως ἰσχυρὰ ἀπαιτεῖται πίστις, ὅτι πρὸ ἀμνημονεύτων τῆς ζωῆς τῆς γλώσσης χρόνων τὸ μόλις νεογνὸν τοῦ πληθυντικοῦ τρίτον πρόσωπον τὴν εἰς μετοχὴν ὑπέστη μεταμόρφωσιν, αὕτη δὲ πάλιν ἐγένετο πηγὴ

Εἰκὸς ἦν, λέγει ὁ Heyse (System des Sprachw. σελ. 144), πρὸ τοῦ γραμματικοῦ τῆς γλώσσης σχηματισμοῦ κατ' ἀνάγκην ἄλλην τινὰ προϋπάρξαι κατάστασιν, καθ' ἣν ἐκ ῥιζῶν μόνον συνέκειτο. Οἱ πρωτόβλαστοι οὗτοι τύποι, λέγει καὶ Max Müller (Lect. nouv. γαλλ. μετ. σ. 103) ἐν πρώτῃ τινὶ τῆς γλώσσης περιόδῳ πάσαις ταῖς χρείαις ἐπήρκουν, ἐν ἀντιθέσει πρὸς ἄλλας θεωρίας, οἵας ὁ Pott ἐξήνεγκε (Etym. Forsch. ἐκδ. 2, 95). Διὰ τί τὰς ῥίζας ὡς τοιαύτας ἀμοίρους εἶναι δεῖ τοῦ τύπου τῶν λέξεων καὶ τῆς πραγματικῆς γλωσσικῆς ἀξίας ἐν τῇ τοῦ λόγου ῥοῇ οὐ δύναμαι καθορᾶν· ὅ,τι ποτὲ ἀρχιγένεθλος ἦν λέξις, τοῦτο ἀναφαίνεται ὕστερον ῥίζα ὡς πρὸς τὴν προηγμένην τῆς γλώσσης ἀνάπτυξιν. Οὔτε ὁ Ἰνδὸς οὔτε ὁ Ἕλλην ὡμίλει ἔτι ἐν ῥίζαις, ἀλλ' οἱ κοινοὶ αὐτῶν πρόγονοι ἔπραττον τοῦτο ἐν χρόνοις, οἳ πολὺ πόρρω κεῖνται τῆς ἀναπτύξεως ἐντέχνου ἐν τῇ γλώσσῃ κατασκευῆς, οἵαν νῦν πρὸ ὀφθαλμῶν ἔχομεν. Ἂν οὕτω τὰς ῥίζας θεωρήσωμεν, τὸν μυστικὸν καὶ μυθικόν, ᾧ πλεονάκις αὐτὰς περιέβαλον, ἀπεκδύονται χαρακτῆρα.

Καὶ κατὰ τοῦτο δέ, ὅτι τὰς ῥίζας μονοσυλλάβους παραδέχομαι, τοὺς πλείστους τῶν γλωσσολόγων ὁμόφρονας ἔχω· ἀστραπηδόν, εἶπον, ἡ ἐνιαία ἐκρήγνυται ἔννοια ἔν τινι φθόγγων συμπλοκῇ, ἡ στιγμιαίως καταληπτὴ γενέσθαι ὀφείλει. Ὡσαύτως ἡ διαίρεσις τῶν ῥιζῶν εἰς δύο τάξεις, εἰς ῥηματικὰς ἢ κυρίως ῥίζας καὶ εἰς ἀντωνυμικὰς ἢ ἀντωνυμικὰ θέματα, ἀπαραίτη-

---

ἀναριθμήτων ἄλλων ὀνοματικῶν σχηματισμῶν; Ἀλλὰ καὶ ἐν τῇ πρώτῃ τῶν προμνημονευθεισῶν πραγματειῶν ὁ Benfey εἰς παραδόξους περιπίπτει ἀντιφάσεις· ἐν σελ. 719 π.χ., ἔνθα τὰς πληθυντικὰς τοῦ ῥήματος καταλήξεις ἐκ τοῦ πληθυντικοῦ τῶν προσωπικῶν ἀντωνυμιῶν ἐπιχειρεῖ διασαφῆσαι, ἆρα σαφῶς ὁ πτωτικὸς σχηματισμὸς ἤτοι ἡ ὀνοματικὴ κλίσις πρὸ τῆς πρωτίστης ῥηματικῆς μορφώσεως ὑπάρχειν ὑποτίθεται, ὅπερ ὅλως ἀντίκειται τῇ κεφαλαιώδει θέσει, ἣν πανταχοῦ ὑπερασπίζεται, ὅτι δὴ τὰ πρωτοτόκια τῷ ῥήματι ἀνήκουσι πρεσβυτέρῳ ὄντι τοῦ ὀνόματος. Οὐκ ἔστιν ἐνταῦθα ἡ ἐμὴ πρόθεσις κατὰ βάθος τὰς ἐρεύνας βασανίσαι τοῦ σοφοῦ καὶ ὀξύφρονος ἀνδρός, εἰς ὃν βεβαίως πολλὰ ἡ σπουδὴ καὶ μελέτη τῆς σανσκρίτης ὀφείλουσιν· ἀλλ' ἐπειδὴ αἱ δύο αὗται διατριβαὶ σχεδὸν τὸ μόνον εἰσὶν ἐκτενέστερον δοκίμιον χρονολογικῆς τινος ἐν τῇ γλώσσῃ θεωρίας, ἠθέλησα ἐν ὀλίγοις τοὐλάχιστον ὑποδεῖξαι, διὰ τί ἡ ἀπόπειρα αὕτη ἀπαρέσκει μοι.

Ἡ προτίμησις τῶν ῥηματικῶν πρὸ τῶν ὀνοματικῶν τύπων ἀντίπαλον εὗρε τὴν ἐκ διαμέτρου ἀντικειμένην ὑπόθεσιν, ἣν ὁ Ascoli ἰδίᾳ ἐν ταῖς Ἀριοσημιτικαῖς αὐτοῦ μελέταις studj Ariosemitici Articolo secondo, letto alla Classe di lettere etc. (del R. Istituto Lombardo) — 6 Juglio 1865 ἀνέπτυξεν. Καὶ οὗτος οὐδὲν περὶ ῥιζῶν ἐθέλει εἰδέναι· καίπερ οὐ δυνάμενος τῶν ἀρχεγόνων μονοσυλλάβων ἀποσχεῖν (σελ. 33), περὶ τῶν μᾶλλον ἀνεπτυγμένων ὅμως τύπων φρονεῖ, ὅτι τὸ ὄνομα τοῦ ῥήματος προγενέστερόν ἐστι· διότι πολὺν χρόνον, ὡς αὐτῷ δοκεῖ, τὸ πνεῦμα τῆς γλώσσης κατέτριψε περὶ τὴν δημιουργίαν ἀσχολούμενον τῶν ποικιλωτάτων ἐκείνων τύπων, ὅσοι χρήσιμοι πρὸς παράστασιν τοῦ ὀνόματος τὸν ἐνεργοῦντα δηλοῦντος, πρὶν ἢ τὸ ὡρισμένον ῥῆμα ἀναφανῇ. Εἰ μὲν ὁ Benfey τὸ μετοχικὸν στέλεχος οἷον bharant θεωρεῖ ὡς κολόβωσιν τοῦ τρίτου προσώπου τοῦ πληθυντικοῦ bharanti, ὁ Ascoli τοὐναντίον διατείνεται, ὅτι τὸ bharanti ὁ πληθυντικός ἐστιν ἀριθμὸς τοῦ ὀνοματικοῦ θέματος bharant· ἀλλὰ πῶς τὸ bharanti πρὸς τὸ bharati καὶ τοῦτο πρὸς τὸ bhara-si, bhara-mi ἔχει, οὐδόλως ἡμῖν λέγεται· κεῖται δὲ τῆς ἀληθείας ἐγγύτερον τὸ ti τοῦ bhara-ti ταὐτὸν τῷ τοῦ bhara-n-ti θεωρῆσαι· ὥστε τὸ πληθυντικὸν διὰ τοῦ n σημαίνεται, τοῦτο δέ, ὡς ἐκ τοῦ j-an-ti πιθανολογεῖται, ἐκ τοῦ an προῆλθε· δύο συμπλεκτικῶς συνηνωμέναι ἀντωνυμίαι τὸν πληθυντικὸν σημαίνουσιν, ἡ δ' ἑτέρα μόνη τὸν ἑνικόν. Διὰ τί οὐκ ἦν δυνατὸν ἀμφοτέρας ταύτας τὰς ἀντωνυμίας ὅλως ἀπὸ τοῦ ῥηματικοῦ τούτου σχηματισμοῦ ἀνεξαρτήτους ἔν τινι ὀνόματι ἀνευρεῖν; ἢ τάχα καὶ τὸ τοῦ πρώτου πληθ. προσώπου ἐπίθεμα mas τῷ τῆς ἑνικῆς ὀνομαστικῆς ὀνοματικοῦ τινος στελέχους οἷον τῷ bha-ma-s συνταὐτίσαι ὀφείλομεν; ἀλλ' ἐκ τίνος χρόνου ἡ ἁπλῆ συνήχησις, καίπερ ὡς πλεῖστον τῆς λειτουργίας διαφερούσης, ὡς ἀπόδειξις ἀρχεγόνου ταὐτότητος ἐκλαμβάνεται; Καὶ Schweizer-Sidler (Kuhn's Zeitschr. XVI, 142) τὴν ἀσκόλειον κρίνων ἀπόπειραν, εὑρίσκει ἐν μέρει πάνυ βέβαια τὰ πρὸς ἐμπέδωσιν αὐτῆς εἰς χρῆσιν τεθέντα μέσα. Ῥηματικοὶ τύποι μέχρι χθὲς καὶ πρώην ὡς ἀρχέγονοι θεωρούμενοι, οἷοι οἱ ad-mi, as-ti, ἔχουσι κατ' Ἀσκόλιον φωνῆέν τι ἀποβαλόντες, ἵν' οὕτως ὀνοματικὸν προκύψῃ θέμα ada, asa, τὸ δὲ i-ma ἐκ τοῦ ai-mas ἐκολοβώθη· καθόλου δ' εἰπεῖν, πᾶν ληκτικὸν i καὶ u ἐκ τοῦ aj-a καὶ ava προῆλθε. Σκοπὸς ἐν τούτοις ὑπόκειται ἀεὶ ἡ τάσις τὰς δισυλλάβους σημιτικὰς ῥίζας πρὸς τοὺς ἰνδογερμανικοὺς ὀνοματικοὺς τύπους παραλληλίσαι· ἀλλ', ὡς νομίζω, αἱ ἀντίθετοι τῶν ὀξυνόων τούτων ἀνδρῶν ἀπόπειραι λίαν ἁρμόδιαί εἰσιν ἀλλήλας ἀνελεῖν. Καίπερ δὲ ἀντιθέτους προθέμενοι σκοπούς, πολλάκις ὅμως ὡς πρὸς τὰ μέσα συναντῶνται· οὐδέτερος αὐτῶν ἀμφιβάλλει, ὅτι καὶ κατὰ τοὺς ἀρχαιοτάτους χρόνους χώραν εἰλήφασι τοιαῦται μεγάλαι τῶν φθόγγων ἀλλοιώσεις, ἐπισκοτήσεις τοῦ γλωσσικοῦ αἰσθήματος, ἀνώμαλοι σχηματισμοὶ κτλ., οἷοι ἐν ὑστέραις τῆς γλώσσης περιόδοις ἐν μέρει εὑρηνται· ἑκάτεροι τοὺς ὡς ἰνδογερμανικοὺς ἀποδεδειγμένους τύπους διὰ παραδοχῆς ἐπιζητοῦσι διασαφῆσαι καταστροφῶν καὶ κολοβώσεων μεγάλων· ἀλλ' εἰκότως δύναιτ' ἄν τις ἀμφιβάλλειν, εἰ τοιούτων κατὰ τὴν νεανικὴν ταύτην τῆς γλώσσης ἡλικίαν ἀλλοιώσεων παραδοχαὶ πιθανώτεραί εἰσιν ἢ αἱ λευκαὶ τρίχες ἐν τῇ παιδικῇ καὶ τὸ νωδὸν ἐν τῇ τοῦ νέου ἡλικίᾳ· ἀλλὰ πᾶς τις τοὐλάχιστον τό γε παραδεχθήσεται, ὅτι προτιμητέα ἡ εὕρεσις ὁδοῦ τινος, δι' ἧς ἂν ὁ βαθμιαῖος τῆς καταπαύσεως τῆς ἀρχιγενέθλου ἀρίας γλώσσης σχηματισμὸς ἄνευ τοιούτων βιαίων μέσων διευκρινηθείη.

τός ἐστιν· ἀλλ' ἐνταῦθα αἱ διαφωνίαι τῶν γνωμῶν εἰσι πλείονες, καὶ πρῶτον ὡς πρὸς τὴν ὀνομασίαν· διότι ὁ μὲν Heyse (system σελ. 153) τὰς μὲν πρώτας καλεῖ ὑλικὰς ῥίζας, τὰς δὲ δευτέρας τυπικὰς (Formwürzeln), ἀλλ' ἐπειδὴ ἡ μὲν μορφὴ ἄνευ ὕλης οὐχ ὑπάρχειν δύναται, τὰ δὲ ἀντωνυμικὰ στελέχη ἄνευ τῶν ἄλλων πραγματικωτάτην ἔχουσιν ὕπαρξιν, ἡ ὀνομασία αὕτη οὐχ ἁρμοδία κρίνεται· ὁ δὲ Steinthal (Typen σελ. 278) καταλληλότερον τὰς μὲν πρώτας ποιοτικὰς (qualitativ) τὰς δὲ δευτέρας δεικτικὰς ὀνομάζει· οὐ πολὺ δὲ διαφέρει ἡ ὑπὸ Max-Müller ὀνομασία κατηγορηματικὴ καὶ δεικτική, δι' ἧς ἀσφαλῶς ἡ φύσις τῶν ἀντωνυμικῶν θεμάτων καταδείκνυται. Εἰ αἱ ἀντωνυμίαι, ὡς καὶ Schömann (Redetheile σ. 96) ἀποφαίνεται, δεικτικαὶ λέξεις εἰσί, καὶ τὰς ῥίζας αὐτῶν δεικτικὰς δυνάμεθα καλεῖν. Ὁ Schleicher (Compend. ἐκδ. 3, 330) ἐννοιῶν καὶ σχέσεων ῥίζας διακρίνει· ἀλλ' ὡς ἡ ἔννοια τὸ πρῶτον ἐκ τῆς αἰσθητικῆς ἀντιλήψεως, οὕτω δὴ καὶ ἡ σχέσις ἐκ τῆς ἐνδείξεως ἀναπτύσσεται. Πρὸς τὴν ἀρχέγονον φύσιν, νομίζω, ἀμφοτέρων προσεγγίσομεν, τὰς μὲν προσηγορικὰς (nennende) τὰς δὲ δεικτικὰς (deutende) ῥίζας καλοῦντες. Ἀλλὰ καὶ ὡς πρὸς τὴν διχοτομίαν ταύτην ὑπάρχουσι διαφωνίαι, εἴπερ ἐξ ἀρχῆς ἦν ἡ ὕστερον ἐπῆλθεν. Καὶ ὁ μὲν Bopp (Analyse des indogermanischen Sprachbaues) οὐ περαιτέρω τῆς διχοτομίας ταύτης χωρεῖ, ἐν ᾗ καὶ Heyse, Steinthal καὶ ἄλλοι ἐμμένουσι. Κατὰ δὲ τοὺς νεωτάτους χρόνους ὑπεστηρίχθη μᾶλλον ἡ ἀρχέγονος ταὐτότης ἀμφοτέρων τῶν εἰδῶν, τὸ μὲν πρῶτον, ὅσον ἐγὼ γινώσκω, ὑπὸ Ἰακώβου Grimm (über Etymologie und Sprachvergleichung lσ. 312), ἔπειτα ὑπὸ Schleicher (Compend. ἐκδ. 3, 332 καὶ ὁριστικώτερον ἐν τῷ συγγράμματι, über Nomen und Verbum σελ. 509), καὶ ὑπὸ Benfey ἐν ταῖς προμνημονευθείσαις πραγματείαις. Ἡ λύσις τοῦ ζητήματος τούτου ἐκ τῶν δυσχερεστάτων ἐστίν. Οὐδεὶς μέχρι τοῦδε τὴν ἀρχὴν ἀντωνυμίας τινὸς ἐκ ῥηματικῆς ῥίζης κατώρθωσεν ἀποδεῖξαι, εἰκασίαι μόνον ἐξηνέχθησαν περὶ μὲν τῶν προσωπικῶν ἀντωνυμιῶν τὰ μάλιστα ἀρέσκουσαι, ἧσσον δ' ἐπιτυχεῖς περὶ τῶν ἄλλων (1). Γλῶσσαι ἀμοιροῦσαι τῆς διαστολῆς τοῦ ὀνόματος καὶ ῥήματός εἰσιν ὅτι πλεῖσται, ἀλλ' ἄνευ ἀντωνυμιῶν ὑπάρχουσι γλῶσσαι; Ἀλλὰ τὸ ζήτημα τοῦτο τοσούτῳ μᾶλλον παραλειπτέον ἐστὶν ἐνταῦθα, ὅσῳ μᾶλλον μετ' ἀσφαλείας ἀποδεδειγμένον ἐστίν, ὅτι κατὰ τοὺς παναρχαιοτάτους ἤδη χρόνους τῆς ζωῆς τῆς ἀρχιγενέθλου ἀρίας γλώσσης ἦν ἡ διχοτομία τῶν ῥιζῶν, πρὸ πάσης τε μορφωτικῆς δημιουργίας προϋπῆρχε, καὶ σύμπασα δὲ ἡ κατασκευὴ τοῦ ἡμετέρου γλωσσικοῦ στελέχους ἐπὶ τοῦ ποικίλου στηρίζεται συνδυασμοῦ προσηγορικῶν καὶ δεικτικῶν στοιχείων. Ἀπὸ ταύτης τῆς διχοτομίας φῶς ἐπιχεῖται τὸ πρῶτον ἐπὶ τῆς γλώσσης καὶ σκιά, ἀπὸ ταύτης λέξεων συνένωσις, ἐννοιῶν μεστή, καθίσταται δυνατή, ὅρος ἀπαραίτητος πάσης περαιτέρω ἀναπτύξεως.

Τοὐναντίον περὶ διακρίσεως ὀνόματος καὶ ῥήματος, ὡς εἰκός, κατὰ ταύτην τὴν περίοδον οὐδεὶς ἔτι λόγος. Εἰ ῥίζα τις τῶν τοῦ πρώτου εἴδους ὀνομάζει ἁπλῶς ἢ ἀποφαίνεταί τι, διότι εἰς ταῦτο ἡ τοῦ ὀνόματος καὶ ῥήματος διαφορὰ καταλήγει, τοῦτο κατὰ τὴν ἀρχαιοτάτην ταύτην τῆς γλώσσης κατάστασιν οὐκ ἐνδείκνυται· ἡ ῥίζα δα δύναται τὸν δότην, τὸ διδόμενον, τὴν δόσιν σημαίνειν, ἀλλ' ὡς τοιαύτη οὐδέποτε ὡρισμένως, δίδωσι. Τοιαῦται ἀποφάνσεις πάντοτε ἐπὶ συνθέσεως στηρίζονται, ἧς αἱ γυμναὶ ῥίζαι ἀμοιροῦσιν. Διὸ καθόλου πᾶσα ἔλειπε διάκρισις τῆς ῥευστῆς, οὕτως εἰπεῖν, καὶ τῆς πεπηγυίας ἐνεργείας· ὅτι ταῦθ' οὕτως ἔχουσιν, ἀριδηλότατα μαρτυροῦσιν αἱ τύπων ἄμοιροι γλῶσσαι.

Ὁ ἀριθμὸς τῶν ἀρχεγόνων ῥιζῶν, ἤτοι ἀρχαιοτάτων τοῦ ἡμετέρου γλωσσικοῦ στελέχους λέξεων, οὐδόλως ἦν ὑπέρμεγας, ἦσαν δ' ὡς φαίνεται μόνον συλλαβαὶ βραχὺ ἔχουσαι φωνῆεν· διότι καὶ ἐπὶ τῶν ἐχουσῶν ῥιζῶν ληκτικὸν α πιθανὸν ὁ Schleicher (Beitr. z. vergl. Sprach. II 92) κατέστησεν ἀληθεῖς ῥίζας θεωρητέον εἶναι οὐχ ὡς οἱ ἰνδῶν ὑποστηρίζουσι γραμματικοὶ dâ, dhâ, pâ, ἀλλὰ μᾶλλον da, dha, pa. Ἐκ ταύτης τῆς παραδοχῆς τὸ πρῶτον ἑνότης καὶ συμμετρία ἐν τῷ πρώτῳ ῥηματικῷ καὶ ὀνοματικῷ σχηματισμῷ πηγάζει· ὁ τὸ σανσκριτικὸν g'a-g'ân-a οὐκ ἐκ τοῦ g'ân γιγνόμενον ἀλλ' ἐκ τοῦ g'an παραδεχόμενος, τὸ λήθ-η οὐκ ἐκ τοῦ ληθ ἀλλ' ἐκ τοῦ λαθ, ἀποδεχθήσεται, ὡς εἰκός, ὅτι καὶ τὸ δόσι-ς ἐκ τοῦ δο καὶ τὸ σανσκρ. dâ-ma-m ἐκ τοῦ da· ἀλλὰ καὶ ἡ περαιτέρω κατὰ τὴν δευτέραν περίοδον τῶν ῥιζῶν ἀνάπτυξις πιθανὴν ἐν ταῖς πρώταις ῥίζαις καθίστησι τὴν ὕπαρξιν βραχέος ληκτικοῦ

---

(1) Κατὰ Schleicher (Comp. vergl. Gramm. 3 ἐκδ. 332) αἱ ῥίζαι i, ka, ta, ja εἰσὶν ἀντωνυμικαὶ καὶ ῥηματικαὶ ῥίζαι· i ἀντων. δεικτικὴ καὶ ῥηματ. ῥίζα σημαίνουσα ἰ-έναι, ka ἐρωτηματικὴ καὶ ῥημ. ὀξὺ εἶναι, ta δεικτικὴ καὶ ῥημ. τείνειν. Η. Β.

φωνήεντος· ἐκτὸς δὲ τούτων τῶν εἰς φωνῆεν καταληγουσῶν ἀναντιρρήτως καὶ ἄλλας παραδεκτέον ῥίζας εἰς σύμφωνον ληγούσας, οἷον ad (ἐσθίειν), ak (ὀξὺ εἶναι), αγ (ὠθεῖν), an (φυσᾶν), ar (ἰέναι, πειρᾶσθαι), av (πνέειν) καὶ τοιαύτας, ὧν ἡ ἀρχὴ καὶ τὸ τέλος ἔχουσι σύμφωνον, ὡς pat (πέτεσθαι), sad (ἕζεσθαι), div (λάμπειν), tar (ὑπερβαίνειν), dar (ῥηγνύειν), gar (τρίβειν διὰ τῆς χρήσεως, φθείρειν), bhar (φέρειν).

Β. ΠΕΡΙΟΔΟΣ ΤΩΝ ΠΡΟΣΔΙΟΡΙΣΤΙΚΩΝ ΤΩΝ ΡΙΖΩΝ.

Ἂν ἡ ἡμετέρα ἀνάλυσις δεδομένων τῆς γλώσσης τύπων πολλάκις μέχρι σημείου τινὸς ἀφικνῆται, ἐν ᾧ πάντως ὀφείλομεν στῆναι, μέχρι θεμελιωδῶν τύπων, ὧν τὸ ἀρχέγονον οὐδένα ἔχομεν λόγον διαμφισβητῆσαι, ἐν ἄλλαις ὅμως περιπτώσεσιν ὁ κατ' αὐτὸν τὸν τρόπον ἐπιτευχθεὶς θεμελιώδης τύπος νέον ζήτημα διεγείρει, τίς ἡ σχέσις αὐτοῦ πρὸς ἄλλον τινὰ βραχύτερον καί, ὡς ἔοικε, στοιχειωδέστερον. Ἀναμφιβόλως ἡ ῥίζα gan, ἑλληνοϊταλικὴ gen, κρηπὶς ἐστι τοῦ σανσκριτικ. g'anâ-mi ἢ g'a-g'an-mi, τῶν ὀνοματικῶν τύπων g'an-as = γένος, λατ. genus, g'an-i-tar = γεν-ε-τήρ, gen-i-tor κτλ., ὡς ἡ ῥίζα an βάσις ἐστὶ τοῦ ῥηματ. τύπου an-i-mi, τῶν ὀνοματικῶν an-a-s πνοή, ἑλλ. ἄν-ε-μο-ς, λατ. an-i-mu-s καὶ an-i-ma. Καὶ τοῦ μὲν τελευταίου τούτου θεμελιώδους τύπου, τοῦ *an*, οὐδενὶ ῥᾳδίως ἐπελεύσεται ἄλλην περαιτέρω ἀνατομὴν ἐπιχειρῆσαι, παρὰ τῇ ῥίζῃ ὅμως gan ἐστὶν ἡ ga ἐν τῷ σανσκρ. g'â-ti-s γέννησις, g'â-j-ê (ê = αι) γεννῶμαι, καὶ ἐν τῷ ἑλλ. γέγα-μεν, ὥστε τὸ ζήτημα ἐγείρεται τόδε, πῶς ἡ βραχυτέρα ἔχει πρὸς τὴν μακροτέραν. Ὅπως ἡμῖν αὐτοῖς σύμφωνοι ὦμεν, τὴν μὲν βραχυτέραν, ἣν καὶ πρώτην κλητέον ῥίζαν, ἀρχαιοτέραν, τὴν δὲ μακροτέραν, ἅτ' ἐξ αὐτῆς παραχθεῖσαν, νεωτέραν θεωρεῖν ὀφείλομεν. Περὶ τῶν προσθεμάτων τούτων, δι' ὧν οἱ νεώτεροι τύποι μακρότεροι καθίστανται τῶν ἀρχαιοτέρων, τὴν ὀνομασίαν προσδιοριστικὰ (1) τῶν ῥιζῶν (Wurzeldeterminativ) προέτεινα, καὶ κατὰ ταύτην τὴν ἔννοιαν ἐκτενῶς ἤδη ἐν τῷ τῆς Ἑλλ. Ἐτυμ. Ἐγχειριδίῳ (ἐκδ. 3, σελ. 60—·) ἐπραγματεύθην. Διὸ περιττὴ πᾶσα περὶ τοῦ ζητήματος τούτου μακροτέρα ἔρευνα· ἐνταῦθα μόνον σημειά τινα ἐν ὀλίγαις λέξεσιν ἐξεταστέον, ἐκεῖ ἀνεξέταστα παραλειφθέντα. Τῶν γλωσσολόγων οἱ πλεῖστοι ταύτην τῶν ῥιζῶν τὴν πλάτυνσιν σχετικῶς νεωτέραν τινὰ εἰσαγωγὴν θεωροῦσι κατὰ δύο πολὺ διαφόρους γιγνομένην τρόπους· διότι ἔνιοι μὲν συνθέσεις ἀκλίτου ῥίζης μετὰ κλιτῆς ἀνευρίσκουσιν· εἰ τὸ δαπ τοῦ δαπ-τ-ω, δαπ-άνη πραγματικῶς προϋπετίθει, ὡς Benfey βούλεται, ῥῆμα ἀνάλογον τῷ ἐνεργη-

(1) Καθὰ αὐτὸς Κούρτιος ἐν τῷ τῆς Ἑλλ. Ἐτυμ. Ἐγχειριδίῳ λέγει (ἐκδ. 3, 70) «ὁ Corsen (Beitræge zur latein. Formenlehre s. 116) διττὰς κατὰ τῆς ὀνομασίας ταύτης ἀπευθύνει ἐνστάσεις, πρῶτον μὲν τὴν ἔκφρασιν determinativ οὐχ ἱκανῶς ὡρισμένην εὑρίσκει, διότι καὶ πᾶν ἄλλο βεβαίως μορφωτικὸν λέξεων ἐπίθεμα προσδιοριστικόν ἐστιν· ἀλλ' ἐπειδὴ τοῦτο μὲν ἐπ' αὐτῶν καθόλου τὸ ὄνομα ἐπίθεμα (suffixe) ἤδη καθιέρωται, ὃ καίπερ ἀόριστον ἀρκούντως διὰ τῆς χρήσεως πεπαγίωται, τοῦτο δὲ τῇ προσθήκῃ wurzel (wurzeldeterminativ) ἡ ἰδιαιτέρα δηλοῦται σχέσις πρὸς τὸ θεμελιῶδες τοῦτο τῆς γλώσσης συστατικὸν μέρος, τὴν προσήκουσαν φαίνεταί μοι ἔχειν σαφήνειαν· σπουδαιοτέρα δὲ ἡ δευτέρα ἐστὶν ἔνστασις ὁριστικώτερον ἐκφράζουσα, ὃ καὶ παρ' ἄλλων ἀντετάχθη μοι· « οὐ δύναται κατανοῆσαι, φησὶ Corsen, πῶς ἁπλᾶ, κενὰ σύμφωνα ἄνευ συμπλοκῆς φωνηέντων, στοιχεῖα αὐτὰ καθ' ἑαυτὰ ἀνεκφώνητα, ἁπλῶς κατ' ἰδέαν ἤτοι νοηταὶ μόνον φθογγικαὶ μονάδες, οἷά τ' ἂν εἴησαν ἀρχῆθεν μόνα ταῖς ῥίζαις συνάπτεσθαι, ὅπως τὴν σημασίαν αὐτῶν ἐκφαντικωτέραν ἀπεργάσαιντο»· ἀλλὰ τοῦθ' ὅπερ κἀμοὶ ἀκανανόητον οὐδέποτε εἶπον, ἀλλὰ μόνον ὅτι τῶν προσδιοριστικῶν ἡ ἀρχὴ ἀσαφὴς εἴη. Καὶ ἐν τῇ γλωσσολογίᾳ ἔστιν ὅτε περὶ μεγάλων ἀγνώστων τὸν λόγον ποιεῖσθαι ὑποχρεούμεθα, ἡμῖν δὲ ἀρκεῖ ταῦτα κατατάξαι, τὰ ὁμοειδῆ ὁμοῦ θεῖναι καὶ τὴν λειτουργίαν αὐτῶν ὁρίσαι· πᾶν δὲ ὄνομα, δι' οὗ τάξις τις τοιούτων στοιχείων ἀπ' ἄλλης διακρίνεται, φαίνεταί μοι ἀεὶ λόγου τινὸς ἄξιον.—Ἂν δὲ καὶ περὶ τῆς ἀρχῆς τῶν προσδιοριστικῶν τῶν ῥιζῶν ἡ ἀνάγκη ὑπόθεσίν τινα ἀποτολμῆσαι, δύο δή τινα πιθανά μοι δοκοῦσιν, ἢ ὅτι ἡ γλῶσσα ἐν τῇ τῆς δημιουργίας τῶν ῥιζῶν περιόδῳ διττὰς ἐδημιούργησε ῥίζας συγγενῆ ἐχούσας σημασίαν, τὴν μὲν βραχυτέραν τὴν δὲ μακροτέραν εἰς σύμφωνον καταλήγουσαν, ἧς γνώμης ἐστὶ καὶ Max Müller παραδεχόμενος (Lect. nouv. II, 23 γαλλ. μεταφρ.) ὅτι «μίαν τινὰ κοινὴν ἐκφράζουσιν ἔννοιαν, κατ' οὐδὲν δὲ ἄλλο διαφέρουσιν ἢ καθ' ἓν ἢ δύο γράμματα εἰς τὴν ἀρχὴν ἢ εἰς τὸ τέλος προστιθέμενα», — περὶ προσθεμάτων ἐνταῦθα οὐδεὶς ἂν εἴη λόγος·—ἢ ὅτι τῶν ῥιζῶν ἡ ἀνάπτυξις προῆλθε ἐκ συνθέσεως, ὥστ' ἐν ἑκάστῳ ληκτικῷ συμφώνῳ παρεφθαρμένον στέλεχος ἀναζητητέον. Ὅτι ἡ ὑπόθεσις αὕτη πιθανή πως ἀποδέδεικται μόνον ὡς πρὸς τὸ dh(=θ) παραβληθὲν πρὸς τὴν ῥίζαν dha(=θα), προείρηται· παραδέχομαι δέ, ὅτι αὕτη μᾶλλον καὶ τοῖς ἄλλοθεν ὑπὸ τῆς ἐπιστήμης δεδομένοις συμφωνεῖ· ταύτην δὲ καὶ Carl Pauli (Zur geschichte der Lat. verba auf uo s. 7) ἀποδέχεται· ἀλλ' ἕως τὸ πλεῖστον τῶν στοιχείων τούτων εὐρὺ καλύπτει σκότος, προτιμῶ τὸ ζήτημα θεωρεῖν ὑπὸ συζήτησιν ἔτι προκείμενον καὶ λύσεως χρῆζον».

Η. Β.

τικῷ σανσκρ. dâpajâ-mi, τὸ π τοῦτο προῆλθεν ἂν καθ' ἣν ἐποχὴν ἡ ῥηματικὴ κλίσις ἤκμαζε λίαν, σύντριμμα ὂν τοῦ pajâ-mi, ὅ διά τινος ὁπωσδήποτε ἀρκούντως παρατόλμου ὑποθέσεως ἑρμηνεύει ὁ Benfey facio, ὥστε τὸ ὅλον (dâ-pajâ-mi) ἦν ἂν νέος σχηματισμός, σύνθετος ῥηματικὸς τύπος, ὡς τὸ λατ. cale-facio. Ἀλλ' ἅπασαι τοῦ ἡμετέρου στελέχους αἱ γλῶσσαι μετὰ τὴν τῆς ῥηματικῆς κλίσεως συμπλήρωσιν ἀποστροφὴν ἐμφαίνουσι πρὸς τὴν ἄμεσον ῥηματικῶν ῥιζῶν μετὰ κλιτῶν ῥηματικῶν τύπων σύνθεσιν. Οὐκ ἄρα τυχαῖον, εἰ τοῖς μὲν ὀνοματικοῖς τύποις τοσοῦτῳ κοινὴ ἡ σύνθεσις, τὰ δὲ ῥήματα ἐκτὸς τῆς χαλαρᾶς τῶν προθεμάτων συνθέσεως ὡς ἐπὶ τὸ πλεῖστον αὐτὴν ἀποφεύγουσιν· ἐξαιρέσεις ἐν ὀλίγοις εὑρηνται ῥηματικοῖς θέμασιν, ὧν ἡ σημασία ἐπεσκιάσθη, εἰς βοηθητικὰ μεταπεσόντων ῥήματα, ὡς ἐν ταῖς ῥίζαις as, ja, dha. Ἡ χρῆσις τοιούτων ῥιζῶν πρὸς σχηματισμὸν τῶν χρόνων ἀρίδηλός ἐστιν· ἀλλὰ καὶ ἐν ταύτῃ κεῖνται τύποι πολὺ προγενέστεροι τοῦ σανσκριτικοῦ dâ-pajâ-mi, ὅ τῇ σανσκρίτῃ ἰδιάζον πάντα τὰ ἴχνη παραγωγῆς ἔκ τινος ὀνοματικοῦ στελέχους φέρει, οὐδ' ἐκ τούτων τῶν στοιχείων συμπαγής τις αὖξη ἐκφύεται, ἀλλὰ μᾶλλον τὰ βοηθητικὰ ἐκεῖνα ῥήματα χαλαρὰς συνθέσεις καὶ ταύτας μόνον μετά τινων χρονικῶν θεμάτων συνάπτουσιν. Ἐκτὸς δὲ τούτων ἐν οὐδενὶ σχεδὸν τῶν περὶ ὧν ἐνταῦθα ὁ λόγος προσθεμάτων δύναταί τις ῥηματικὴν ἀνευρεῖν ῥίζαν.

Ὅλως δὲ διάφορός ἐστιν ἡ γνώμη τῶν αὐτὰ ταῦτα τὰ στοιχεῖα τοῖς μορφωτικοῖς τῶν λέξεων ἐπιθέμασι συνταύτιζόντων (1)· διότι κατ' αὐτὴν τὸμὲν κ π.χ., δι' οὗ τὸ ὁλε-κ (ὁλέκ ω, ὁλώλεκ-α) ἰσχυρότερόν ἐστι τοῦ ὁλε, ὁλ, ταὐτὸν εἴη τῷ κ τοῦ ὀνοματικοῦ στελέχους φυλα-κ, ἢ τῷ ἐκ τοῦ ἀντωνυμικοῦ θέματος κα παραχθέντι ἐπιθέματι κα, ἑλλ. κο· π. χ. dhâ-ka-s δεξαμενὴ ἐκ τῆς ῥίζης dhâ τιθέναι (πρβ. ἑλλ. θή-κη), τὸ δὲ n τοῦ g'anâ-mi οὐδὲν διαφέροι τοῦ n τοῦ ἐπιθέματος -na, οἷον svap-na-s = ὕπ-νο-ς, ἐκ τῆς ῥίζης svap· τὸ δὲ t τοῦ djut λάμπειν ἐκ παραλλήλου τοῖς ταὐτοσήμοις div ἢ dju ταὐτὸν τῷ t τοῦ sthi-ta-s = στα-τό ς. Ἀλλὰ πᾶς τις καθορᾷ, ὁπόσον ἡ λειτουργία τῶν αὐτῶν στοιχείων πάντῃ διάφορος ἐν τοῖς ὀνοματικοῖς ἐστι καὶ ἐν τοῖς ῥηματικοῖς τύποις· διότι ἐν μὲν τοῖς ὀνοματικοῖς τὰ ἀντωνυμικὰ ἐκεῖνα στελέχη σκοπὸν προτίθενται τὴν τοῦ στελέχους σημασίαν ὡς ὄντως προκειμένην, ὡς ἀντικειμένῳ τινὶ ἐνυπάρχουσαν ἐνδεῖξαι· χρησιμεύουσιν ἄρα, ὅπως τὴν ὀνοματικὴν τοῦ στελέχους σημασίαν ὁριστικώτερον ἐξάρωσιν. Βεβαίως κατωτέρω ὀψόμεθα ὀνοματικὰ θέματα ὡς ῥηματικὰ χρησιμεύοντα· ἀλλὰ τοῦτο, ὡς δειχθήσεται, ἐπὶ ὅλως ὡρισμένῳ συντόπῳ συμβαίνει ἐν τῷ τοῦ ἐνεστῶτος σχηματισμῷ. Τὰ p, k, n, t διὰ πάσης τῆς τοῦ ῥήματος κλίσεως διήκουσιν, ὡς καὶ διὰ τοῦ πρώτου ὀνοματικοῦ σχηματισμοῦ, g'a-g'ân-a = γέγονα, g'a g'an-ti, g'an-as = γένος, djôt-a-tê (= tai), di-djut-ê (= ai), djôt-a-s, djôt-is· οἱ θεμελιώδεις τύποι g'an, djut κατὰ πᾶσαν ἄλλην σχέσιν καὶ μάλιστα καθ' ὅσον εἰς τὴν ἐσωτερικὴν τῶν φθόγγων ἐπίρρωσιν ἀποβλέπει, ἐν ἴσῃ μοίρᾳ ταῖς πρώταις λογίζονται ῥίζαις, ὅσαι, ὡς ἡ an, kan, pat, εἰς οὐδεμίαν ὑποκείμεναι ἀνάλυσιν περαιτέρω οὐ κατατέμνονται. Ἐκ τούτων ἄρα οὐκ ἐξάγεται, ὅτι τοιοῦτοι τύποι, οἵγε οὐδόλως ὑπὸ τοῦ γλωσσικοῦ αἰσθήματος ἀπὸ τῶν πρώτων ῥιζῶν διακρίνονται, ἐν τῇ γλώσσῃ ἤδη πρὸ τῆς εἰσαγωγῆς τῆς κλίσεως καὶ τοῦ πρώτου τῶν λέξεων σχηματισμοῦ ὑπῆρχον; Ἐν τοῖς παρωνύμοις ὑστέρων περιόδων ὅλως ἄλλοι σχηματισμοῦ νόμοι ἐπεκράτησαν· ἔτι δὲ τῶν προσθεμάτων, ἃ προσδιοριστικὰ καλοῦμεν, πολλὰ οὐδεμίαν ἔχουσι τοῖς ὄντως ἐν χρήσει ὀνοματικοῖς ἐπιθέμασιν ὁμοιότητα, καὶ αὐθαιρετωτάτων ἐδέησεν ὑποθέσεων, ὅπως εἰς αὐτὰ ἐπαναχθεῖεν (1).

Τὰ μὲν προσδιοριστικὰ τὰς ῥίζας ἐσωτερικῶς προσδιορίζοντα τὸν κύκλον αὐτῶν περιορίζουσι, τὰ δὲ ὀνοματικὰ ἐπιθέματα ἐξωτερικῶς προσδιορίζοντα τὰς ῥίζας περιχαράσσουσιν ἐπὶ ὡρισμένων ἀντικειμένων χρῆσιν μᾶλλον περιωρισμένην. Ἀπὸ τῆς ῥίζης ju σχηματίζονται jug καὶ judh· ἡ θεμελιώδης σημασία συνδεῖειν καὶ ἐν τῇ τριπλῇ ταύτῃ τῶν φθόγγων συμπλοκῇ ἀνεύρηται, ἀλλὰ τὸ μὲν ju σημαίνει καὶ μιγνύειν, ἀναμιγνύειν τὴν ζύμην, τὸ δὲ jug ἔχει μᾶλλον τὴν σημασίαν τοῦ ἐπί τινι σκοπῷ συνδεῖειν, συνάπτειν καὶ μάλιστα ζευγνύειν τοὺς ἵππους τῇ ἁμάξῃ, τὸ δὲ judh ἀποκλειστικῶς τὴν ἐχθρικὴν σημαίνει συνάντησιν καὶ συμπλοκήν. Ἀλλὰ πό-

(1) Ὡς πρὸς τοῦτο πορρωτάτω ἐχώρησεν ὁ Ascoli ἐν ταῖς Ἀριοσημιτικαῖς αὐτοῦ Μελέταις σελ. 203.

(1) Οἷον ὁ Ascoli (σελ. 20) πρὸς διασάφησιν τοῦ προσδιοριστικοῦ p ἀντωνυμίαν ὑποτίθησι pa ἐν οὐδεμιᾷ τῶν ἰνδοευρωπαϊκῶν γλωσσῶν ἀπαντώσῃ· διότι τὸ σανσκριτικὸν pá-ras (ὁ ἕτερος), ὃ ἀναφέρει, ἔστι καὶ ἄλλως ἑρμηνεῦσαι· τὸ δὲ pa ἐκεῖνο καὶ εἰς bha ἐν περιπτώσει μεταμορφοῦται, ὅπως τὸ ἐπουσιώδες bh ἑρμηνευθῇ.

σον διαφόρως τὰ μορφωτικὰ τῶν λέξεων ἐπενεργοῦσιν ἐπιθέματα; jug-a-m ὁ συνδέων ζυγός, jŏk tar ὁ συνδέων, jok-ti ἡ σύνδεσις. Τὴν προτόγονον ῥίζαν tar (tar-ala-s, πάλλων, τρέμων) ἢ tra τὴν θεμελιώδη ἔχουσαν τῆς κινήσεως σημασίαν ἐνόμισα (Ἐγχειρ. Ἑλλην. Ἐτυμ. 3, 209—·) ἐν τοῖς μᾶλλον ἀνεπτυγμένοις tra-s καὶ tra-m, tra-k (λατ. torqu-eo = τρέπω), tra-p (λατ. trep-idu s) ἀνευρεῖν· τὰ δὲ tri καὶ tru κατὰ τὸ φωνῆεν μόνον ἀπὸ τῆς ῥίζης tra διαφέροντα ἐν τοῖς trup (ἑλλ τρύπ-ανον) καὶ trib (τρίβ-ω)· ἕκαστος τῶν μᾶλλον ἀνεπτυγμένων τούτων σχηματισμῶν εἰς ἰδίαν προσηρμόσθη χρῆσιν. Ποῦ δ' ἐν τῇ περιοχῇ τῶν ἀναμφισβητήτων παρωνύμων ῥημάτων τοιοῦτόν τι εὑρίσκομεν; Τὰ jactare, mutare, ναιετᾶν, φορεῖν, ὀλίγον κατὰ τὴν σημασίαν ἀπὸ τῶν πρωτοτύπων jacere, movere, ναίειν, φέρειν, διαφέρουσιν. Μᾶλλον παρομοιώσιμος αὐτοῖς ἐστιν ἡ διαφορὰ τῶν σημαινομένων, ἣν αἱ προθέσεις ἐν νεωτεραις τῆς ζωῆς τῆς γλώσσης περιόδοις ἐπάγουσι πρὸ τῶν ῥιζῶν τασσόμεναι. Ὁ σχηματισμὸς τῶν ῥηματικῶν στελεχῶν προφανῶς ἦν καθόλου πολὺ πρότερον συμπεπληρωμένος καὶ ἐκ τούτου τῆς ἐπ' ἄπειρον νέων τύπων βλαστήσεως μᾶλλον ἀπηλλαγμένος ἢ ὁ τῶν ὀνομάτων, ἐν οἷς ἡ τάσις πρὸς ἀτομικὴν χαρακτήρησιν ζῶσα πάνυ πόρρω ἐν τῇ περιόδῳ τῆς αὐθεκάστου τῶν γλωσσῶν ζωῆς παρετάθη· καὶ οὕτω δὴ κατωρθώθη, ἵνα διάφορα ὀνόματα τῷ ἀνυπερλογίστῳ δοθῶσι τῶν πραγμάτων πλήθει, ἃ τῶν τῆς καλλιεργείας ἕνεκα προόδων ὀνομασίας ἔχρηζον. Οὐδόλως δὲ ἀποπλανώμεθα, ἂν εἰκάσωμεν, ὅτι ἡ ἐπὶ μακρότερον διαρκέσασα αὕτη τάσις ἦν καὶ ὑστερογενής. Τοὐναντίον δὲ λόγοι ἀποχρῶντες πείθουσιν ἡμᾶς παραδέξασθαι, ὅτι τὰ προσδιοριστικὰ πάνυ ἀρχαῖά εἰσι ταῖς ῥίζαις προσάμματα, ἃ τούτου ἕνεκα στερεώτατα μετ' αὐτῶν συγκεχωνευμένα εἰσὶ καὶ ὡς πρὸς τὴν χρῆσιν ἐν τῇ κλίσει οὐδὲ τὴν ἐλαχίστην ἔστιν ἀνευρεῖν τῶν πεπλατυσμένων καὶ τῶν πρωτογόνων ῥιζῶν διαφοράν. Ἐνδεχόμενον μέν, πιθανὸν μάλιστα, ὅτι ἀφ' οὗ σειρά τις τύπων ἐπαγιώθη, κατ' ἀναλογίαν αὐτῶν καὶ ἄλλοι ἐπλάσθησαν· ἀλλ' αὐτοὶ οἱ τύποι ὁπωσδήποτε εἰς παλαιοὺς ἀνέρχονται χρόνους.

Τὸ περὶ τῆς ἀρχῆς τῶν προσδιοριστικῶν ζήτημα νομίζω καὶ νῦν ἔτι δεῖν ἄλυτον καταλιπεῖν. Εἴπερ, ὁ πολλοὶ λόγοι τοὐλάχιστον τοῖς πλείοσι τῶν προθεμάτων τούτων πιθανώτατον καθιστῶσι, ῥηματικαὶ ἐν αὐτοῖς ὑπολανθάνουσι ῥίζαι, ἔχομεν ἐνταῦθα τὸ παράδειγμα συνθέσεως πάντῃ διαφόρου τῆς ἑτέρας τῆς ὑφ' ἡμῶν ἀνωτέρω ἀποδοκιμασθείσης, καθ' ἣν κλιτοὶ ῥηματικοὶ τύποι ῥηματικοῖς συνάπτοιντο θέμασιν. Αἱ ῥίζαι αὐταὶ καθ' ἑαυτὰς οὔτε ὀνόματα οὔτε ῥήματά εἰσιν. Εἰ ἄρα ὑποθεῖμεν, ὅτι τὸ judh ἐστὶ judha = δέειν ποιεῖν (1), οὐδόλως ἂν ἔχοιμεν ἐνταῦθα σύνθετον πρὸς ἀκατανόητον σχηματισμόν, οἷος ὁ ὀνοματίθημι, παραβαλλόμενον, ἀλλὰ μᾶλλον πρὸς τὸν σχηματισμὸν ὀνοματοθέτην· διότι ὅπερ τὴν σύνθεσιν μετ' ἀνεπτυγμένων ῥηματικῶν τύπων ἐκώλυε, τὸ πολυσύλλαβον καὶ ἡ διαφορὰ τῶν κατὰ τὴν χρείαν παραλλασσουσῶν μορφῶν, οὐκ ἦν ἐνταῦθα. Εἰ δ' ἐν τοῖς προσδιοριστικοῖς ἀντωνυμικὰ στελέχη ὑπολανθάνειν ἔλει, ἡ χρῆσις αὐτῶν ὡσαύτως ὅλως ἂν διάφορος ἦν τῆς τῶν δι' ἐπιθεμάτων χαρακτηριζομένων ὀνοματ. τύπων. Ὑποτεθείσθω, ὅτι τὸ k, δι' οὗ ἡ ῥίζα tark trak μακροτέρα καθίσταται τῆς tar tra, ταὐτὸν ἦν τῷ δι' οὗ τὸ θέμα λιθακ. ἀπὸ τοῦ λιθο διακρίνεται, ἡ χρῆσις ὅμως ὅλως ἂν ἦν διάφορος· διότι ἐν μὲν τῷ ὀνόματι τὸ k αὐθέκαστόν τι δείκνυσιν ἀντικείμενον, ὃ ἀπὸ τῶν ἄλλων ἐξαίρει, ἐν δὲ τῷ ῥηματικῷ θέματι τὴν ἐν αὐτῷ ὑπάρχουσαν σύμπασαν ἔννοιαν οὐσιωδῶς τροποποιεῖ· ἡ διαφορὰ μόλις ἐλάσσων ἐστὶ τῆς τοῦ us, ὅτε ὡς μορφωτικὸν στοιχεῖον ῥηματικαῖς συναπτόμενον ῥίζαις ὀνόματα ἐκτυποῖ ἀφῃρημένα, καὶ ὅτε ὡς ἐπίθεμα τὴν ὀνομαστικὴν χαρακτηρίζει τοῦ πληθυντικοῦ ἢ τὴν γενικὴν τοῦ ἑνικοῦ ὀνοματικοῦ τινος στελέχους. Ἂν δὲ καὶ παραδεχθῶμεν, ὅτι τὸ k ἐν ἀμφοτέραις ταῖς περιπτώσεσιν ἐκ τῆς αὐτῆς ἀπέρρευσε πηγῆς, ἡ διττὴ χρῆσις οὐκ ἂν πρὸς μίαν καὶ τὴν αὐτὴν ἀναλογίαν ἀναχθείη· διότι ἑκατέρα, ὡς ἔστιν εἰκάσαι, εἰς διαφόρους ἀναφέρεται τῆς ἱστορίας τῆς γλώσσης χρόνους τε καὶ τάσεις τοῦ γλωσσικοῦ ὁρμεφύτου.

Κατ' ἀρχὴν εὐκατανόητον φαίνεταί μοι, ὅτι τῶν προσαμμάτων τούτων τὰ μὲν ἐκ ῥηματικῶν ῥιζῶν τὰ δ' ἐξ ἀντωνυμικῶν θεμάτων παρήχθησαν· τοῦ δ' ἐρρίνου u, δι' οὗ τὸ gan ἰσχυρότερον ἀποβαίνει τοῦ ga, ἡ καθαρὰ φωνητικὴ ἀρχὴ οὐχ ὅλως ἀπορριπτέα. Ἡ ὀνομασία προσδιοριστικὰ ταὐλάχιστον τοῦτο τὸ καλὸν ἔχει, ὅτι τὰ προσάμματα ταῦτα ἀπ' ἄλλων διακρίνει.

---

(1) Ἴσως ἡ χρῆσις τῆς ῥίζης dha. ἔν τισι χρονικοῖς τοῦ ῥήματος θέμασι, π. χ. ἐν τοῖς ἑλλ. τύπτω, ἠγερέ-θοντο, μάλιστα δ' ἐν τῷ παθητικῷ ἀορίστῳ καὶ ἐν τῷ σχηματισμῷ τοῦ ἀσθενοῦς γερμανικοῦ περφεκτημένου στηρίζεται ἐπὶ τῆς συγχωνεύσεως ταύτης τῆς ῥίζης μετ' ἄλλων, ἥτις ὅμως πολὺ μεταγενεστέρα ἐστὶ τῆς περὶ ἧς ἐνταῦθα ὁ λόγος.

Τῇ δὲ βοηθείᾳ τῶν ἐκ τῶν προσδιοριστικῶν πεπλατυσμένων ῥιζῶν πολλῷ πλείονας ἐκφρασθῆναι ἐννοίας ἐφικτὸν ἐγένετο. Ἴσως τότε καὶ τὸ δισύλλαβον τῶν λέξεων ἀρχὴν εἴληφεν, ὥστε πρὸς τῷ ju, tar, ἐν χρήσει ἦσαν καὶ ju dha, tar-ka· ἂν δὲ καὶ μακροτέραν τῆς ἀκλίτου ταύτης καταστάσεως διάρκειαν παραδεχθῶμεν, τότ' ἂν κατανοήσαιμεν, ὅτι τὸ μὲν κατὰ ταύτην τὴν περίοδον ἀπροστάτευτον ἀπολειφθὲν τελικὸν φωνῆεν ἐξέπεσε, μόνον δὲ τὸ σύμφωνον παρέμεινεν ὡς πρόσαμμα.

Γ. ΠΕΡΙΟΔΟΣ ΠΡΩΤΟΓΟΝΩΝ ΡΗΜΑΤΩΝ.

Ὡς πρῶτον βῆμα πρὸς τὸν εἰδικὸν σχηματισμὸν τὴν τῶν πρωτογόνων ῥηματικῶν τύπων μόρφωσιν θεωρῆσαι δυνάμεθα (1). Τοῦ ῥήματος ἡ οὐσία ἐν τῇ ἀποφάνσει ἔγκειται· τοῦτο δ' ἐπιτυγχάνεται, ὅταν αἱ προσωπικαὶ ἀντωνυμίαι ὡς σημεῖον τοῦ ὑποκειμένου ἀχωρίστως μετὰ ῥιζῶν προσηγορικῆς δυνάμεως συναφθῶσιν, οἷον dâ-ma, dâ-ta, = δῶμι, δῶσι. Ἡ σύνδεσις ἄρα τῶν δύο στοιχείων ἐνταῦθα κατηγορηματική ἐστιν· οὕτω δὲ μικρά τις συνέστη φράσις, τὸ πρότυπον πασῶν τῶν πλουσιώτερον περιβεβλημένων, ὧν ἡ ὑστερογενὴς βαθμιαίως τε ποικιλλομένη σύστασις εὐκολωτέρα ἦν πρὸς τὸν σχηματισμὸν παραβαλλομένη τῆς ἀρχετύπου ταύτης προτάσεως. Ὁ Schleicher ἐν τῇ ἑαυτοῦ πραγματείᾳ, περὶ ὀνόματος καὶ ῥήματος ἐν τῇ φθογγολογικῇ αὐτῶν μορφῇ (abhdl. der philol. — histor. Cl. σ. 501 —) ἀπέδειξεν, ὅτι μικρόν τι ἢ οὐδὲν πᾶσαι αἱ ἄλλαι γλῶσσαι πλὴν τῶν ἰνδοευρωπαϊκῶν κατορθοῦσιν εὐκρινῶς καὶ ἀσφαλῶς τὰς δύο κατηγορίας ἀπ' ἀλλήλων διακρῖναι. Ὁ ἰδιάζων τῆς κατασκευῆς τοῦ ἰνδογερμανικοῦ ῥήματος χαρακτὴρ κατ' ἐξοχὴν ἐπὶ τῆς ἀκριβοῦς στηρίζεται ἀντιλήψεως τῆς κατηγορηματικῆς σχέσεως· ἄκλιτοι γλῶσσαι πολλάκις ἀναγκάζονται τὰς σχέσεις τῶν λέξεων πρὸς ἀλλήλας διὰ τῆς σταθερᾶς αὐτῶν θέσεως ἐμφαίνειν. Ἔστιν ἄρα εἰκάσαι, ὅτι πρὸ τοῦ κατηγορηματικοῦ συνδυασμοῦ ὑπῆρξε χρόνος, καθ' ὃν τὸ ἀντωνυμικὸν θέμα λειτουργείαν ἐκτελοῦν ὑποκειμένου σταθερὰν κατύπιν τῆς ῥίζης εἶχε θέσιν· ἀλλ' ἀποτελεσματικὸν ἐποίησε βῆμα ὁ σταθερὸς ἀμφοτέρων συνδυασμός. Πιθανῶς τοῦτο ἅμα τῇ τῶν τύπων δημιουργίᾳ τὴν ἀρχὴν εἴληφε, μετὰ τοσαύτης δὲ σαφηνείας εἰς τὴν τῆς γλώσσης εἰσέδυσε συνείδησιν, ὥστε ἀδύνατος ἔκτοτε κατέστη σύγχυσίς τις μετ' ἄλλων προσθεμάτων. Ὁ προσημειωθεὶς θεμελιώδης τοῦ τρίτου προσώπου τύπος dâ-ta αὐτὰ ταῦτα περιλαμβάνει τὰ στοιχεῖα, ἃ καὶ τὸ τοῦ ῥηματικοῦ ἐπιθέτου θέμα dâ-ta, ἐξ οὗ ἡ ὀνομαστικὴ dâ-ta-s = δο-τὸ-ς, da-tu-s. Σύγχρονος ἀμφοτέρων τῶν τύπων σχηματισμὸς ἀδύνατος σχεδόν ἐστι· διότι ἐπὶ χαρακτῆρος στηρίζονται τῆς μορφώσεως τῆς γλώσσης ὅλως διαφόρου. Ἐν μὲν γὰρ τῷ τελευταίῳ τύπῳ τὸ ta προσδιοριστικῶς (attributiv) τῷ dâ συνηρμόσθη, δοῦναι αὐτοῦ, τουτέστιν ἡ δόσις, τὸ δεδομένον αὐτοῦ· οὐδὲν δὲ ἴχνος ἡμᾶς εἰς εἰκασίαν ἄγει, ὅτι ὑπῆρχε χρόνος, καθ' ὃν dâ-ta ἐσήμαινε δίδωσιν ἅμα καὶ δεδομένον. Ἀλλ' ἂν παραδεχθῶμεν, ὅτι τὸ ἐπιθεματίζειν (suffigirung = χρῆσθαι τοῖς ἐπιθέμασιν) ἀπὸ ἀρχαιοτάτης τῆς γλώσσης περιόδου ἀποκλειστικῶς ἐν κατηγορηματικῇ ἦν ἐννοίᾳ, ἐκ δὲ τῶν οὕτω δημιουργηθέντων τύπων τῶν κατά τι ἀκατεργάστων ἔτι ἄλλοι παρήχθησαν μᾶλλον ἐπεξειργασμένοι, τὸ μὲν κατὰ σύντμησιν καὶ ἐξασθένισιν τῶν καταλήξεων, τὸ δὲ κατ' ἐπίρρωσιν τῶν ῥιζῶν, εὔληπτον γενήσεται, ὅτι ἀφ' οὗ τὸ ἐκ τοῦ dâ-ta προελθὸν dâ-ti ἢ τὸ ἐκ τοῦ δεδιπλασιασμένου θέματος dadâ dadâ-ti ἀπώλεσε τὴν τῆς συστάσεως αὐτοῦ μνήμην, κατ' ἄλλην ὑστερόχρονον περίοδον, ἀρκούντως ὅμως ἔτι δημιουργικήν, ἡ ῥίζα, ὡς ὀψόμεθα, ὀνοματικῶς λαμβανομένη, ἐκ νέου αὖθις μετὰ τῶν αὐτῶν στοιχείων ἀλλὰ κατ' ἄλλην ἔννοιαν συναφθῆναι ἠδύνατο. Ὅτι οἱ ἀρχαιότατοι ῥηματικοὶ τύποι τῶν ἠρθρωμένων ὀνοματικῶν προγενέστεροί εἰσι, πολλοὶ πραγματικῶς καὶ ποικίλοι πρὸς ὑποστήριξιν ἔρχονται λόγοι, ἐξ ὧν ἂν μάλιστα τοὺς ἑξῆς βουλοίμην ἐξάραι.

1.) Οἱ πρῶτοι ῥηματικοὶ τύποι, ἐξ ὧν τὸ κατ' ἀρχὰς εἰς φῶς προῆλθον οἱ ἐνεργητικοὶ μόνοι, πάνυ ὀλίγοι εἰσί· διότι τοῦ δυϊκοῦ πιθανῶς τὸ πρῶτον ἐκ τοῦ πληθυντικοῦ παραχθέντος, ἓξ μένουσι τύποι, ἐξ ὧν πάλιν τρεῖς ὑπὸ ἕνα καὶ τὸν αὐτὸν κατατάσσονται ἀριθμόν· οἱ δὲ τοῦ πληθυντικοῦ ἀριδήλως τὰ αὐτὰ περιέχουσι στοιχεῖα, ἃ καὶ οἱ τοῦ ἑνικοῦ, ἀλλ' ἀνὰ δύο συνδεδεμένα· ὥστε πρὸς σύστασιν μόνον τῶν τριῶν τοῦ ἑνικοῦ τύπων ὅλως νέας ἐδέησε δημιουργίας. Κἀνταῦθα ἄρα ὀρθῶς ἔχει τὸ τῆς παροιμίας, πλέον ἥμισυ παντός. Ὅτ' ἐκ τῶν τριῶν ἀντωνυμικῶν θεμάτων ἓν δυνά-

(1) Τὰ αὐτὰ καὶ Steinthal φρονεῖ ἐν τῇ Χαρακτηριστικῇ τῶν κυριωτάτων τύπων τῆς κατασκευῆς τῆς γλώσσης σελ. 285.

μει τοῦ τόνου τῆς λέξεως μετὰ τῆς ῥίζης εἰς ἓν συνήφθη, ὁ τύπος κατ' οὐσίαν ἐδημιουργήθη, ὃς ἀνανεούμενος ἀπετέλει ἀεὶ τοὺς ἐπιλοίπους. Τὴν δὲ πρεσβυγενῆ τῶν τύπων τούτων ἀρχὴν καταδείκνυσιν ἡ διαφάνεια καὶ ἡ ὡρισμένη αὐτῶν σημασία.

Ἐν ἀντιθέσει πρὸς ταύτην τὴν ἁπλότητα καὶ βεβαιότητα πολυποίκιλον ἔχει τὸν χαρακτῆρα τοῦθ' ὃ πρὸς διάκρισιν ἀπὸ τῆς κλίσεως καλοῦμεν μορφωτικὸν τῶν λέξεων (vortbildung)· ἡ διαφορὰ αὕτη οὐκ ἐλάνθανεν ἤδη τοὺς ἀρχαίους γραμματικούς· οἷς ἡ μὲν κλίσις φυσικὴ ἐφαίνετο, declinatio naturalis, ἡ δὲ μόρφωσις τῶν λέξεων προαιρετικὴ voluntaria, καὶ ἐν ἐκείνῃ μὲν ἡ εὐστάθεια, ἐν ταύτῃ δὲ ἡ ἀστασία ἐπικρατεῖ (Varro de ling. Lat. IX, 34). Αἱ γλῶσσαι τοῦ ἡμετέρου στελέχους οὐπάνυ τι τοῦ χαρακτῆρος αὐτῶν ἀπώλεσαν ἄν, εἰ ἀντὶ τοῦ ἀμετρήτου σχεδὸν πλήθους τῶν μορφωτικῶν ἐπιθεμάτων τῶν λέξεων ὀλίγα τινὰ μόνον ἦσαν· ἀλλ' ἄνευ ῥηματικῆς κλίσεως οὐδόλως ἂν ἦσαν, οἷαι νῦν εἰσιν· ὁ μὲν πλοῦτος τῶν μορφωτικῶν πολυτέλειά ἐστι τῆς γλώσσης εὐάρεστος καὶ εἰς λεπτοτάτην προωρισμένη χρῆσιν, ἡ δὲ ῥηματικὴ κλίσις ὁ πρῶτος τῆς ἰδίας αὐτῆς ζωῆς ὅρος· ἀλλ' ὁ πόθος τῶν πολυτελῶν πραγμάτων ὕστερον ἐπεισέρχεται, ὅταν αἱ κατεπείγουσαι πληρωθῶσιν ἀνάγκαι.

2) Εἴπερ οἱ ποικίλοι τῶν ὀνομάτων τύποι ἀρχαιότεροι τῶν πρώτων ῥηματικῶν ἦσαν, οὗτοι δέ, ὥς τινες διϊσχυρίσθησαν, ἦσαν ἤδη παρώνυμοι, τῶν ὀνοματικῶν τύπων ἔδει ἂν ἴχνη ἀνεξίτηλα διασώζεσθαι· ἔστι μέν τοι στρῶμά τι ῥημάτων ἀναμφρίστως παρωνύμων ἐξ ὀνοματικῶν προδήλως στελεχῶν συντιθεμένων, εἰσὶ δὲ καὶ ἄλλοι ῥηματικοὶ τύποι, ἐν οἷς παρακατιόντες ὀνοματικὰ στελέχη ἀνευρήσομεν ἐνυπάρχοντα· ἀλλ' ἀπὸ τούτων ἀκριβέσταται διακρίνονται ἄλλοι οὐδὲν τοιοῦτον φέροντες ἴχνος. Χρῄζομεν τῶν πειστικωτάτων ἀποδείξεων, ὅπως ἐν οὕτωσιν ἁπλοῖς καὶ σαφέσι τύποις, οἷοι ὁ ai-mi ἑλλ. εἶ-μι, i-mas = ἑλλ. ἴ-μες, μεγάλας ἤδη παραδεχθῶμεν ἀκρωτηριάσεις τῶν θεματικῶν συλλαβῶν. Τοιοῦτοι σχηματισμοὶ τὸν τύπον ἀπωτάτω ἀρχαιότητος φέρουσιν.

3) Οἱ πρῶτοι ῥηματικοὶ τύποι ἐν ταῖς γλώσσαις τοῦ ἡμετέρου στελέχους πάντων τῶν ἄλλων στερρότατα συνηρμόσθησαν, ἐφ' ᾧ καὶ ἀφορμὴν παρέσχον τῷ Bopp πρὸς ἀνακάλυψιν τῆς τῶν γλωσσῶν συγγενείας ἐν τῷ Conjugationssystem συγγράμματι αὐτοῦ. Ἐν δὲ τῷ σχηματισμῷ τῶν πτώσεων ἤδη ποικιλίαν τινὰ ἤτοι τῇδε κἀκεῖσε διαφόρους εὑρίσκομεν ἀποπείρας πρὸς ἔκφρασιν τῆς αὐτῆς σχέσεως, π. χ. ἐν τῇ γενικῇ καὶ ὀργανικῇ τοῦ ἑνικοῦ ἀριθμοῦ· ἐν δὲ ταῖς προσωπικαῖς καταλήξεσιν ἴχνη τοιούτου ἐνδοιασμοῦ σπανιώτατά εἰσιν. Ἐν πλήρει ἀσφαλείᾳ ὡρισμένον τι μέσον εἰς χρῆσιν τίθεται καὶ τοῦτο πρὸς ἕνα καὶ μόνον σκοπόν, πρὸς ὃν ἀκριβῶς ἀντιστοιχεῖ. Αἱ ἐξ ἐκεῖναι παλαίταται προσωπικαὶ καταλήξεις εἰσὶ κυρίως ἀνεξάλειπτος πασῶν τῶν ἰνδοευρωπαϊκῶν γλωσσῶν χαρακτήρ· τοῦτο δὲ καταληπτότατον ἀποβαίνει, ἂν τὴν δημιουργίαν αὐτῶν ὡς τὸ πρῶτον ἔργον τῆς εἰδικῆς μορφώσεως τῆς ἀρχιγενέθλου ἀρίας γλώσσης θεωρήσωμεν.

4) Πρὸ τῶν πρώτων ῥηματικῶν τύπων ποικίλος τις τῶν ὀνομάτων σχηματισμὸς ἀπίθανόν τι ἐστιν, ὅλως δὲ ἀκατανόητον ἐν οὕτωσιν ἀπωτάτῳ χρόνοις ἡμόρφωσις τῶν πτώσεων (1)· ἡ ἀνάγκη τῶν πτώσεων τὸ πρῶτον ἐν τῇ προτάσει καθίσταται ἐπαισθητή, ἀλλ' ἄνευ ῥήματος οὐδεμία, κυριολεκτικῶς εἰπεῖν, πρότασις ὑπάρχει, ἀλλ' ἁπλῶς σωρεῖαι καὶ λέξεων ἀθροίσματα. Πρὸς δὲ αἱ πτώσεις ἀνεπτυγμένα προϋποτιθέασιν ὀνοματικὰ στελέχη, ὧν τὴν ὕπαρξιν πρὸ τῶν ῥηματικῶν τούτων τύπων, περὶ ὧν ἐνταῦθα ὁ λόγος, ἀπίθανον ἐθεωρήσαμεν. Ἐν μιᾷ καὶ μόνῃ περιπτώσει τὸ ὡρισμένον ῥῆμα τῷ τῶν πτώσεων συμπίπτει σχηματισμῷ ἤτοι ἐν τῷ ἀριθμῷ, ὃς ἐν τῷ ῥήματι καθὰ καὶ ἐν τῷ ὀνόματι ἐνδείξεως χρήζει· ἀλλ' ὅλως διαφέρει ἡ ἔνδειξις τοῦ ἀριθμοῦ ἑκατέρῳ. Εἰ πρὸ τῆς μορφώσεως τῶν καταλήξεων, —masi, —tvasi, (a)nti ἐπίθεμά τι τοῦ πληθυντικοῦ ὑπῆρχε, τοῦτ' ἂν ἔδει ἐν τῷ ῥήματι ἅμα καὶ ἐν τῷ ὀνόματι ἀνευρίσκειν· διότι ἡ γλῶσσα ὅπερ ἅπαξ ἔμαθεν, οὐκ ἐπιλανθάνεται· ὅτι δὲ οὐδὲν τοιοῦτον ἐν τῷ ι ὑπολανθάνει, δηλοῖ τὸ ἑνικὸν -mi, -si, -ti· αἱ προσωπικαὶ τοῦ πληθυντικοῦ καταλήξεις ἐν τῷ ῥήματι ὅλως εἰσὶ διάφοροι τοῦ τῶν αὐτοτελῶν ἀντωνυμιῶν. Τὸ δ' ἐν τοῖς ὀνόμασι πληθυντικὸν τὴν κατάληξιν ἔχον ς ἢ ας προδήλως ὅλως ἀνεξάρτητόν ἐστι, καὶ ὡς ἔστιν εἰκάσαι, ἐν χρόνῳ συνέστη, καθ' ὃν ἐπὶ μακρὸν ἤδη αἱ προσωπικαὶ καταλήξεις ὡς τοιαῦται ἐν χρήσει ἦσαν. Καὶ αἱ καταλή-

(1) Καὶ Misteli ἐν τῇ περὶ τῶν καταλήξεων τῶν μέσων ῥημάτων ἀξιολόγῳ αὐτοῦ διατριβῇ (Kuhn's Zeitschr. XV, 296) εἰς τὸ συμπέρασμα κατέληξεν, ὅτι οὐδὲν ἡμῖν ἐπιτρέπει τὴν τῶν οὐσιαστικῶν κλίσιν πρότερον συμπληρωθῆναι τῆς τῶν ῥημάτων ὑπολαμβάνειν.

ξεις δὲ τῶν μέσων ῥημάτων, ἃς νῦν μετὰ Bopp καὶ Schleicher διττὰ θεωρῶ ἀντωνυμικὰ στελέχη ἐνδιαφόρῳ πρὸς τὴν πρᾶξιν σχέσει, π. χ. dâ-ta i = dâ-ta-ti, προελθεῖν ἐν χρόνῳ ἠδύναντο, καθ' ὃν οὐδεμία πτῶσις ὑπῆρχεν. Ἄλλως τὸ λαμβανόμενον ta ὑπὸ τὴν αὐτοπαθῆ ἔννοιαν (= ἑαυτῷ) πτώσεως ἔδει σημεῖον φέρειν.

Καὶ εἰς μὲν τὰ περὶ συστάσεως ἑκάστου τύπου εἰσελθεῖν ἐνταῦθα οὐ προτιθέμεθα· ἀλλ' ὡς πρὸς τὴν χρονολογικὴν σχέσιν ἐν ταύτῃ τῇ περιόδῳ δυνάμεθα σαφῶς διαφόρους ἀναγνωρίσαι ὑποδιαιρέσεις, καὶ πρῶτον φθογγολογικῶς. Πληθυντικαὶ καταλήξεις, οἷαι αἱ ma-si τουτέστι ma-tvi, tha-si τουτέστι tva-tvi, καταλήξεις τῶν μέσων ῥημάτων, ma-i τουτέστι ma-mi, ta-i ἤτοι ta-ti, περιλαμβάνουσι τὰ ἐπιθέματα-ma,-tva,-ta ἄνευ ἐξασθενίσεως τοῦ φωνήεντος. Ἡ ἐξασθένισις ἄρα εἰς ι ὑστερόχρονόν ἐστιν ἐπιγέννημα. Ἔπειτα φανερόν ἐστιν, ὅτι τὸ μέσον μετὰ τὸ ἐνεργητικὸν προῆλθεν, ὃ πανταχοῦ προϋποτίθησι, καὶ μεθ' οὗ στενῶς συνδέδεται. Ἐν τῷ δευτέρῳ τοῦ μέσου ἑνικῷ προσώπῳ, οὗ τὴν κατάληξιν — sai μετὰ Schleicher ἀναμφιβόλως εἰς τὴν tva-tvi ἀναγαγεῖν δυνάμεθα, ἡ αὐτὴ ἀντωνυμία δίς, ὡς ἐν τῷ πληθυντικῷ ἐπιθέματι tha-s δηλ. tva-tvi, ἐνυπολανθάνει· ἀλλ' ἐν μὲν τῷ πληθυντικῷ συμπλεκτικῶς συνδέδεται σὺ καὶ σύ, ἐν δὲ τῷ μέσῳ συντακτικῶς σὺ σὲ ἢ σὺ σοί. Ἀναδίπλωσιν τῆς ἀντωνυμίας εὑρίσκομεν αὖθις ἐν τῷ τρίτῳ τῆς προστακτικῆς προσώπῳ, ἀλλὰ καὶ ἔκτασιν ἅμα γε τοῦ φωνήεντος μάλα ἁρμόζουσαν τῇ ἐντονωτέρᾳ ἐνεργείᾳ· dâ-tâ-t (a) = δό-τω. Ἡ διάφορος αὕτη τῶν αὐτῶν στοιχείων σύνθεσις πιθανῶς ἀνήκει διαφόροις τῆς περιόδου ταύτης χρόνοις.

Ἀφ' οὗ διὰ τοιούτων τύπων τὸ πρότυπον, οὕτως εἰπεῖν, ἐδημιουργήθη τῶν πρωτογόνων ῥημάτων καὶ διὰ τῆς ποικιλίας τῶν τύπων τῷ μὲν στελέχει ὁμοίων, τῇ δὲ καταλήξει διαφόρων ἡ συνείδησις τῆς κλίσεως ἠγέρθη, πολυειδεῖς, ὡς ἔστιν εἰκάσαι, ἐπεισῆλθον τοῦ δεδημιουργημένου μεταβολαί. Μεταξὺ τοῦ στελέχους καὶ τῆς καταλήξεως προῦκειτο δι' ἀμοιβαίας συνοικειώσεως σταθερὰν σχέσιν καὶ δὴ καὶ τὸ εὐκίνητον ἐκεῖνο τῶν τύπων θεμελιῶσαι, ὃ διακριτικὸν σημεῖον τῆς ἀληθοῦς κλίσεώς ἐστιν. Ὡς μέσα ἔνθεν μὲν συνετέλεσαν ἡ τοῦ στελέχους ἐπίρρωσις, ἔνθεν δὲ τῆς καταλήξεως ἡ ἐξασθένισις· ἀλλ' ἡ τοῦ στελέχους ἐπίρρωσις οὐκ ἦν ἀνεξάρτητος τῆς ἰσχύος τῆς καταλήξεως· διότι μόνον πρὸ τῶν ἀσθενεστέρων τοῦ ἑνικοῦ καταλήξεων ἐγίγνετο. Ἐντεῦθεν βλέπομεν, ὅτι τοῦτο, ἀπό τινων ὑστεροχρόνων ἐμφανίσεων διακρινόμενον, οὐ πρὸς ἐπιφανῆ τοῦ στελέχους ἔξαρσιν, ἀλλὰ πρὸς ἀντιστάθμησίν τινα καὶ ἰσορροπίαν εἰς τὴν γλῶσσαν εἰσήχθη. Διὸ τὸ μὲν πρῶτον τοῦ ἑνικοῦ πρόσωπον ai-ma (ὕστερον ai-im), ἀλλὰ τὸ πρῶτον πληθυντικὸν i-ma-tva (ὕστερον i-ma-si, imas)· τὸ μὲν τρίτον ἑνικὸν ai-ta (ὕστερον ai-ti), ἀλλὰ τὸ τρίτον πληθ. i-an-ta (ὕστερον i-an-ti). Ἡ ἀλλαγὴ αὕτη τοῦ χρόνου τῶν φωνηέντων ἔκτοτε, παρὰ πάσας τὰς εὐρυτέρας ἐξασθενίσεις καὶ κουφίσεις, στερρῶς τοῖς πλείστοις τῶν τύπων τῆς πρώτης ταύτης μορφώσεως ἐμμένει π. χ. ἑλλ. φη-μί, φᾰ-μέν.

Καὶ ἡ ἐξασθένισις ὡσαύτως τῶν ληκτικῶν φωνηέντων εἰς τὴν τῆς λέξεως συντελεῖ εὐαρμοστίαν καὶ εὐστροφίαν· οὗ ἕνεκα ἀδύνατον αὐτὴν εἰς τὴν αὐτὴν θεῖναι τάξιν ταῖς ἰσχυροτέραις τῶν μεταγενεστέρων περιόδων ἀλλοιώσεσιν. Τὸ θέμα τοσούτῳ μᾶλλον τὴν ἑαυτοῦ διατηρεῖ φύσιν, ὅσῳ ἧττον τῇ καταλήξει ὅμοιόν ἐστιν, ἡ δὲ κατάληξις τοσούτῳ κάλλιον τὸν ἑαυτῆς ἐκπληροῖ σκοπόν, ὅσῳ ἧττον βαρεῖά ἐστι καὶ εὐχερέστερον μετὰ τοῦ θέματος ἑνουμένη τύπον ἥκιστα δυσκίνητον συναπαρτίζει. Ἐν τῇ μορφώσει τῶν καταλήξεων τῶν μέσων ἔστιν ἤδη ἀναμφισβήτητος τῶν φθόγγων καὶ οὐκ ἄσημος ἀλλοίωσις, ἐχρησίμευσεν ὅμως καὶ αὕτη, ὅπως εὐχερέστεροι καὶ εὐστροφώτεροι λέξεων σχηματισμοὶ δημιουργηθῶσιν· ἀλλ' ἐνταῦθα περὶ πολλῶν τῶν καθ' ἕκαστα οὐκ ἔτι ὁ τελευταῖος ἐρρέθη λόγος.

Ἐκτὸς δὲ τῶν κινητῶν τοῦ στελέχους ἐπιρρώσεων, δηλ. τῶν δι' ἑνὸς μόνου μέρους τῶν τύπων διηκουσῶν, φαίνεται, ὅτι καί τις σταθερὰ τουτέστι διὰ πάντων τῶν τύπων διερχομένη κατὰ ταύτην τὴν περίοδον ἦν ἐν χρήσει, ἡ ἀναδίπλωσις. Τὸ παιδαριῶδες τοῦτο πρὸς ἔξαρσιν λέξεως ἢ συλλαβῆς μέσον ὡς ἐκ τῆς χρήσεως αὐτοῦ, ἣν ἐν τῇ πραγματείᾳ Doppelung ὁ Pott κοινὴν ταῖς διαφορωτάταις γλώσσαις ἀπέδειξε, δυνάμεθα εἰκάσαι, ὅτι κατὰ τὰς ἀπωτάτω περιόδους τῆς γλώσσης ἀνεφάνη.

Ἐπειδὴ δὲ ἡ ἀναδίπλωσις οὐδὲν τὸ κοινὸν τῇ εἰδικῇ τῆς κλίσεως φύσει ἔχει, οὐκ ἀδύνατον ἐν μιᾷ τῶν δύο προγενεστέρων ὑπάρχειν περιόδων· ἀλλ' εἰ παρὰ τῷ da, ὑπῆρχε da-da, καὶ παρὰ τῷ sta stata, εἰκὸς ἦν καὶ τοῦτο τὸ δεδιπλασιασμένον στέλεχος καθ' ὃν τρόπον καὶ τὸ μονοσύλλαβον τὰς προσωπικὰς καταλήξεις προλαβεῖν· οὕτω δὴ da-dâ-ma παρὰ τῷ dâ-ma συνέστη, da-dâ-ma-tva παρὰ τῷ dâ-ma-tva καὶ οὕτω καθεξῆς περὶ τῶν ἄλλων προσώπων. Οὐ μὴν δὲ

σχυρίζεσθαι δεῖ, ὅτι ἐξ ἑκάστης ῥίζης οἱ διπλοῖ οὗτοι τύποι ἐπλάσθησαν. Βεβαίως ἐκ τῆς σημασίας ἑκάστης ῥίζης ἐξήρτηται, ἵνα τὴν ἀναδίπλωσιν μᾶλλον ἢ καὶ ἀποκλειστικῶς μόνην ἴσως αὐτὴν δεχθῇ, ἢ ὅλως ἀναδιπλασίαστος μείνῃ· ἀλλ' ἀφ' οὗ ἅπαξ ἡ τάσις ἐξηγέρθη καὶ διάθεσις καὶ τὰς δεδιπλασιασμένας κλίνειν ῥίζας, εἰκὸς ἦν, ὅτι πολλάκις τοὐλάχιστον ἀμφότεροι οἱ τύποι, ὁ ἁπλοῦς καὶ ὁ δεδιπλασιασμένος, ὁ μὲν παρὰ τῷ ἑτέρῳ ἐν χρήσει ἦσαν. Κἀνταῦθα ἀπαντᾷ ἡμῖν χαρακτηριστικόν τι τῆς ζωῆς τῆς γλώσσης πλείστην ὅσην ὡς πρὸς τὴν γνῶσιν τῆς κατασκευῆς αὐτῆς ἔχον σπουδαιότητα· τοῦτο δέ ἐστιν ἡ ὄντως συντηρητικὴ τάσις πρὸς τοῖς νεωτέροις καὶ τοὺς ἀρχαιοτέρους τηρεῖν σχηματισμούς. Ἡ γλῶσσα σπανίως ἀποβάλλει ὁλόκληρον ὅ,τι ἅπαξ ἐκτήσατο· ὡς τὸ νέον ἀεὶ τοῦ ἀρχαίου ἔχεται, οὕτω δὴ καὶ τὸ ἀρχαῖον οὐῤᾳδίως ἀπὸ τοῦ συρμοῦ, ἵν' οὕτως εἴπω, ἀπαλλάσσεται· διατηρεῖται ὁπωσδήποτε, πολλάκις δ' ἐν γωνίᾳ που καὶ ἐν παραβύστῳ. Ἡ ἀνίχνευσις ἄρα ἀρχαιοτέρων σχηματισμῶν ἐν τοῖς νεωτέροις ἐκ τῶν πρώτων ἀεὶ ἔσται τοῦ γλωσσολόγου ἐπασχολήσεων· διότι ταύτῃ τῇ πανταχοῦ ἐπιδρώσῃ ἰδιότητι ἡ γλῶσσα τὸν πλοῦτον χρεωστεῖ τῶν τύπων, τὴν τ' ἀλλεπάλληλον τῶν διαφόρων στρωμάτων ἐπισώρευσιν. Ἀλλ' ἡ τῶν τύπων ποικιλία παντοῦ εἰς τὴν διάκρισιν φέρει, ἄλλην τῆς γλώσσης διάθεσιν προκαλοῦσα, τὴν πρὸς τὴν διαφορότητα. Ἐν ἐκείνῳ τῷ dadâ-ma πλησίον τοῦ dâ-ma τὸ πρῶτον ἔχομεν παράδειγμα τῆς τοῦ ἰσχυροτέρου καὶ ἀσθενεστέρου θέματος διαφορᾶς, ὅπερ ἔκτοτε οὐκ ἄνευ σημασίας ἔμεινεν. Οὐδεμία ἀμφιβολία, ὅτι τὸ ἀναδεδιπλασιασμένον στέλεχος ἀρχῆθεν πρὸς πλείονα τῆς ἐνεργείας ἔξαρσιν ἔτεινε, τοὐναντίον δὲ οἱ τοῦ ἀσθενεστέρου θέματος τύποι εἰς τὴν ἁπλουστέραν ἐχρησίμευον ἀπόφανσιν· ἀλλ' ἡ διαφορὰ βεβαίως κατὰ ταύτην τὴν περίοδον τοῦ dadâ ma ἀπὸ τοῦ dâ-ma ἢ τοῦ dadâ-mi ἀπὸ τοῦ dâ-mi ἦν τὸ κατ' ἀρχὰς ἀόριστος πάνυ. Λόγος παρ' ἡμῶν ἀνωτέρω ἐγένετο (σ. 197—198) περὶ τῆς λίαν διαφοροτρόπου τῶν δεδιπλασιασμένων τύπων χρήσεως, καὶ εἴδομεν, πῶς διὰ τῆς εἰσαγωγῆς ἄλλων διακρίσεως μέσων, ἅπερ ἡ φορὰ τοῦ χρόνου εἰς τὸ μέσον ἤγαγεν, ἡ ἰδιαιτέρα θέσις ἑκάστου τῶν δεδιπλασιασμένων τύπων ὡς πρὸς ἄλλας ὡρίσθη τε καὶ ἐπαγιώθη.

Πολὺ δὲ πιθανῶς εἰς ταύτην τὴν περίοδον καὶ ἡ ἀρχὴ τῆς αὐξήσεως ἀνέρχεται. Ἡ αὔξησις πρὸ τῶν διαφορωτάτων, καὶ αὐτῶν τῶν πρωτογόνων ῥηματικῶν τύπων a-dâ-m, a-da-dâ-m ἀναφαίνεται· οὐδένα δὲ βλέπω λόγον, δι' ὃν ἐν ταύτῃ τῇ περιόδῳ οὐκ ἔμελλεν ὑπάρξειν. Κατὰ τοὺς πλείστους τῶν γλωσσολόγων, οἷς κἀγὼ συμφωνῶ, ἡ τῆς αὐξήσεως πηγὴ ἀντωνυμικόν τι στέλεχός ἐστι τοῦ πόρρω σημαντικόν. Ἴσως δὲ τὸ ἀντωνυμικὸν τοῦτο θέμα α ἦν ἤδη πρότερον ἐν σταθερᾷ χρήσει ὡς μόριον τοῦ παρελθόντος, ὡς δὴ τοιαῦτα μόρια ἐν γλώσσαις εὑρηνται οὐδεμίαν ἰδίαν κλίσιν δημιουργησάσαις, καὶ ἡ χρῆσις πρὸ τῆς συγχωνεύσεως τοῦ α τούτου μετὰ τοῦ ῥηματικοῦ τύπου ἐξενίκησεν, ὅπως ἐν ἀντιθέσει πρὸς τὰ τοῦ ὑποκειμένου ἐνδεικτικὰ ἀντωνυμικὰ θέματα τοῦτο εἰς ὅλως διάφορον συντελοῦν σκοπὸν προ τῆς ῥίζης τάσσηται. Τὸ ἀποτελεσματικὸν βῆμα ἐπήγαγεν ἡ τούτου τοῦ α μετὰ τῆς ἑπομένης συλλαβῆς συνένωσις ὑπὸ ἕνα καὶ μόνον τόνον. Εἴπερ αἱ εἰκασίαι αὗται ὀρθαί εἰσιν, οὐδόλως μετὰ τοῦ Schleicher (Compend. 3, 738) χρήζομεν τὴν αὔξησιν ὡς πτωτικόν τινα τύπον τοῦ ἀντωνυμικοῦ θέματος α θεωρῆσαι· διότι αἱ πτώσεις κατὰ ταύτην καὶ τὴν ἑπομένην περίοδον ἦσαν ἔτι ὅλως ξέναι· ἀλλὰ πρὸς παραδοχὴν τοιαύτης ὑποθέσεως οὐδ' ἐν τῷ τῆς αὐξήσεως φθόγγῳ ἀποχρῶντά τινα καθορῶ λόγον· ὡς αἱ ῥηματικαὶ καταλήξεις ma tva ta, οὕτω καὶ ἡ αὔξησις α οὐδὲν οἱονδήποτε ἴχνος πτωτικῆς μορφῆς ὑπεμφαίνει. Τοῦτο μόνον πιθανὸν ἐκ τῶν ὑπὸ Schleicher ἀναφερομένων παραδειγμάτων φαίνεται, ὅτι κατ' ἀρχὰς τὸ α μακρὸν ἦν· ἀλλὰ διὰ τί τάχα ἡ ῥοπὴ πρὸς ἔξαρσιν οὐκ ἠδύνατο τὴν ἐπίτασιν τοῦ φωνήεντος ἐπὶ τοῦ ἀντωνυμικοῦ στελέχους ἐπιβαλεῖν, ὡς καὶ ἐπὶ τῆς ῥηματικῆς ῥίζης; Τοιαύτας μικρὰς μέν, σημασίας δὲ μεστὰς μεταβολὰς ὀφείλομεν, ἐξ ὧν παρά τε τοῦ W. Humboldt ἐμάθομεν καὶ Steinthal καὶ ἄλλων περὶ τῶν συμβαινόντων ἐν ταῖς ἀκλίτοις τῶν γλωσσῶν, κατὰ ταύτας μάλιστα τὰς ἀπωτάτω περιόδους παραδέχεσθαι.

Μεγίστη δὲ ἀπόδειξις τῆς ἣν ἡμεῖς ὡρίσαμεν χρονολογίας τῆς αὐξήσεως ἕτερόν τι προφανῶς πάνυ ἀρχαῖον φαινόμενόν ἐστι, δηλ. ἡ παντελὴς τοῦ ληκτικοῦ φωνήεντος τῶν προσωπικῶν καταλήξεων ἀποβολὴ εὐκολώτατα ἐκ τῆς ἐπιδράσεως τῆς αὐξήσεως διασαφουμένη· a-dâ-m, a-da-dâ-m ἕτερον προϋποτίθησι τύπον a-dâ-mi, a-da-dâ-mi ἐκ τοῦ πληρεστέρου προελθόντα a-dâ-ma, a-da-dâ-ma. Εὐκατανόητον δή ἐστιν, ὅτι ἡ κατὰ μίαν συλλαβὴν τῆς ἀρχῆς αὔξησις ἔτι ἰσχυροτέραν ἐπήνεγκε τῆς καταλήξεως βράχυνσιν, οὐδόλως τε τυχαία ἐστὶ σύμπτωσις, ὅτι αἱ δευτερεύουσαι καλούμεναι καταλήξεις ἐν τῷ

παρωχημένῳ κυρίαν καὶ σταθερωτάτην κατέχουσι χώραν· ἀλλ' οἱ δευτερογενεῖς τύποι, ὡς ἡ σύμμετρος αὐτῶν ἐν τῷ ἐνεργητικῷ καὶ μέσῳ ἀποδείκνυσι διεξαγωγή, πρὸ πολλοῦ ἤδη παρὰ τοῖς πρωτογενέσι συνεστῶτες εἶχον. Ἴσως δὲ καὶ ὁ τόνος ἐπὶ ταύτην ἐπέδρασε τὴν βράχυνσιν τῆς καταλήξεως τῆς λέξεως. Ἡ αὔξησις ἐν τῇ σανσκρίτῃ πρὸς ἑαυτὴν ἐπάγεται τὸν κύριον τόνον, καὶ ἐν τῇ ἑλληνικῇ δὲ ὡςαύτως, ὅσῳ ὁ εἰς τρεῖς συλλαβὰς μόνον τὸν τόνον περιορίζων νόμος ἐπιτρέπει. Ἀλλὰ περὶ τονισμοῦ οὐ πάνυ τι δυνάμεθα μετὰ τοσαύτης πεποιθήσεως κρῖναι, μεθ' ἧς ὁ Benfey καθόλου ἐκ τῶν τῆς σανσκρίτης καὶ περὶ τοῦ τονισμοῦ τοῦ πρὸ τῆς ἀποχωρίσεως τῶν γλωσσῶν καὶ δὴ καὶ περὶ τοῦ τῆς ἀρχαιοτάτης μορφῆς τῆς γλώσσης τεκμαίρεται.

Κατὰ ταύτην τὴν θεωρίαν ἡ τρίτη περίοδος οὐκ εὐκαταφρόνητον τύπων ἀριθμὸν εἶχεν ἂν ἤδη τῷ ῥήματι παραγαγοῦσα, ἤτοι

α) ἕνα διπλοῦν 1) ἀσθενοῦς καὶ 2) ἰσχυροῦ ἐνεστῶτος,

β) ἄμφω τούτους τοὺς τύπους ἐκτὸς τοῦ ἐνεργητικοῦ καὶ ἐν τῷ μέσῳ,

γ) παρωχημένους ἀμφοτέρων τῶν τύπων ἔν τε τῷ ἐνεργητικῷ καὶ μέσῳ.

Εἰ δὲ καὶ ὁ παρακείμενος ὡς ἴδιος χρόνος ἦν ἤδη ἀποκεχωρισμένος, φαίνεταί μοι ἀμφίβολον, ἀλλ' ἀναντιρρήτως πᾶσα ἐγκλίσεως ἔνδειξις ἔλειπεν ἔτι.

Ἀπέναντι τούτου τοῦ ἤδη ἱκανῶς πλουσίου σχηματισμοῦ τοῦ ῥήματος τὸ ὄνομα κατὰ ταύτην τὴν περίοδον ἔξεστιν εἰκάζειν ὅλως ἀμόρφωτον καταλειφθῆναι. Καὶ ἐν αὐταῖς ταῖς ὑστεροχρόνοις τῆς ἱστορίας τῆς γλώσσης περιόδοις ὑπάρχουσι δυνάμει τῆς τὴν γλῶσσαν συγκρατούσης καὶ διηκούσης συντηρητικῆς τάσεως οὐκ εὐάριθμα ὀνοματικὰ στελέχη, ἃ ὅλως τῇ ῥίζῃ ὅμοια ἢ κατάγε τὸν χρόνον τοῦ φωνήεντος μόνον αὐτῆς διαφέρον τα δύνανται ἡμῖν φανερὸν καταστῆσαι, ὅτι κατὰ τὴν πρώτην τῆς ἡμετέρας γλώσσης σύστασιν ἰδιαίτερον ἐπίθεμα, καί τοι τοῦτο κατὰ τοὺς ὑστέρους χρόνους λίαν ἀσπαστόν, πρὸς διατύπωσιν τοῦ ὀνόματος οὐδαμῶς ἀναγκαῖον ἦν. Τοιούτων ὀνομάτων οὐκ εὐκαταφρόνητος ἀριθμὸς ἔν τε τῇ σανσκρίτῃ καὶ ἰρανικῇ, καὶ ἑλληνικῇ καὶ λατινικῇ (id. Schleicher Compend. 3, 363) εὕρηται (1). Τὰ τοιαῦτα ἠκρωτηριασμένα θεωρεῖν, ὡς διϊσχυρίσθησαν, οὐδένα καθορῶ λόγον. Ὅτι δὲ τοιαῦτα βραχέα ὀνοματικὰ στελέχη πολλάκις ἄλλοις παράκεινται μικρὸν μὲν ἢ οὐδόλως κατὰ τὴν ἔννοιαν διαφέρουσιν οὐκ ἀμοιροῦσιν ὅμως ἐπιθεμάτων, οὐδόλως ἔπεται, ὅτι ἐκ τῶν τελευταίων τὰ πρῶτα πηγάζουσι· τοὐναντίον φαίνεταί μοι μᾶλλον ἀκατανόητον ἐν τύποις ἁπλουστάτοις, ἐν οἷς ἕκαστος ἀπροληπτως κρίνων ἴδιόν τινα ἀρχαϊσμοῦ χαρακτῆρα ἀναγνωρίσει, ἄνευ ἀποχρώσης ἀποδείξεως ἀκρωτηριασμὸν ὑποπτεύειν. Τοιαῦτα πρωτόγονα ὀνοματικὰ στελέχη δυνάμεθα θεωρεῖν ὡς ἀλλότρια καὶ ὅλως ἔξω κείμενα τῶν ὕστερον ἀνεπτυγμένων τάξεων τῶν ὀνομάτων τὸν ποιοῦντα, τὸν ἐργαζόμενον δηλούντων καὶ λοιπῶν· vîç (δηλ. vik) σημαίνει ἐν τοῖς Βαίδαις εἰσερχόμενον, ἔνοικον, ἄνθρωπον, τὸ δὲ κατὰ τὴν χρονικὴν μόνον ποσότητα ἀπ' αὐτοῦ διαφέρον ζενδικὸν vîç σημαίνει εἴσοδον, ἔπειτα οἶκον, οἰκογένειαν. Ἡ σημασία τοιούτων ἀρχαϊκῶν ὀνομάτων ἐτήρησεν, ὡς ἔοικε, τὸ μέσον μεταξὺ ἀπαρεμφάτου καὶ μετοχῆς, ὡς περίπου οἱ ἀγγλικοὶ σχηματισμοὶ ing· ἀμφότερα ὄντες. Καὶ περὶ διαφορᾶς δὲ γένους, ὃ οὐδαμῶς ἐν τοιούτοις ὀνοματικοῖς στελέχεσιν ἔστιν ἀποδεῖξαι, οὐδεὶς ἐνταῦθα λόγος· πρὸς παραδοχὴν δέ, ὅτι ἐπὶ πλεῖστον χρόνου ταῦτα καὶ μόνα τὰ ῥιζόμορφα ὀνόματα ἦσαν, αἱ ἑξῆς προάγουσί με σκέψεις.

Ἀνωτέρω (σ. 208) λόγον ἐποιησάμεθα ὅτι τὰ αὐτὰ ἀντωνυμικὰ θέματα ἔνθεν μὲν πρὸς σχηματισμὸν τοῦ τρίτου προσώπου τοῦ ῥήματος ἐχρησίμευσαν, ἔνθεν δὲ πρὸς χαρακτηρισμὸν ὀνοματικῶν στελεχῶν· ἐρρέθησαν δὲ καὶ οἱ λόγοι, δι' οὓς ἐν τῷ αὐτῷ συμβῆναι χρόνῳ ἀδύνατον ὂν ἄνευ συγχύσεως τῆς σαφηνείας, ἡ πρώτη χρῆσις ἀρχαιοτέρα τῆς δευτέρας θεωρηθείη. Ἀλλὰ βαθυτέρα παρατήρησις παρέχει ὡς πρὸς τὰ ὀνοματικὰ ἐπιθέματα εὐρύτερόν τι ἐξαγόμενον· πρὸς τὴν ἐρώτησιν τί ἐστι κυρίως ἡ σημασία τοῦ μορφωτικοῦ τῶν λέξεων ἐπιθέματος, οὐδεμίαν σχεδὸν ἄλλην ἔχομεν ἀπόκρισιν δοῦναι ἢ ὅτι σημασίαν ἐνδεικτικὴν ἔχει. Πάντα ταῦτα τὰ ἐπιθέματα, ἐκτὸς ὀλίγων τινῶν, ὅσα ἐν ὑστεροχρόνοις τῆς γλώσσης περιόδοις ἐκ ῥηματικῶν ῥιζῶν προῆλθον, ἀντωνυμίαι εἰσίν, ἐν αἷς οὐδεμία ἄλλη ἢ ἡ δεικτικὴ ἐκείνη ἐνοικεῖ δύναμις· διότι πρᾶγμά τι δεικνύομεν, τὸ πρᾶγμα τοῦτο οὐδεμίαν διὰ τοῦτο ὑφίσταται μεταβολήν· ὥστε οὐ δύναταί τις μεγάλῃ χρώμενος ἀκριβορρημοσύνῃ εἰπεῖν, ὅτι τὰ μορφωτικὰ τῶν λέξεων ἐπιθέματα τὴν δύναμιν ἔχουσιν ἐκ τῆς ῥίζης ὄνομά τι ἐκτυποῦν, ἀλλὰ μᾶλλον ἡ ῥίζα

(1) Ὂπ (ὀνομ. ἐν. ὅπ-ς=ὄψ, φωνὴ) ῥίζ. Fέπ, ἀρχεγ. vak (λατ. voc-s), φλὸγ (ὀν. ἐν. φλὸγ-ς=φλὸξ) ῥίζ. φλέγ, στυγ (ὀν. ἐν. στὺγ-ς=στύξ), φυγ (πρόσφυγ-ς=πρόσφυξ), ζυγ (δίζυγ-ς=δίζυξ) κτλ. H. B.

ἤδη ἐν ἑαυτῇ εἶχε καὶ τὴν ὀνοματικὴν λειτουργίαν, διὰ δὲ τῆς προσαρτηθείσης ἀντωνυμίας αὕτη ἐκφανεστέρα, οὕτως εἰπεῖν, κατέστη· αἱ ῥίζαι bhâr, dâ, gnâ, ἦσαν ἤδη ὀνόματα, πρὶν ἢ τῇ προσθήκῃ τῶν ἐπιθεμάτων a, ta, man, τὰ στελέχη ἀποτελέσωσι bhâr-a (φόρτος, ῥιζ. bhar φέρειν), dâ-ta (δοτόν), gnâ-man (γνῶσις, ὄνομα). Ἡ προσαρτηθεῖσα ἀντωνυμία παρομοία πως τῷ ἄρθρῳ ἐστί· διότι ὡς τὸ ἄρθρον οὐ ποιεῖ τὸ οὐσιαστικόν, ἀλλὰ μᾶλλον προϋποτίθησιν αὐτό, οὕτω καὶ τὸ ἀντωνυμικὸν ἐπίθεμα προϋποτίθησι τὸ ὄνομα, τοῦτο δὲ ἐν τῇ τῶν ἀρχαίων γραμματικῶν ἑρμηνευόμενον γλώσσῃ οὑτωσί πως ἐκφέρεται· ἅπασα ἡ πρώτη τῶν λέξεων μόρφωσις οὐκ ἐπὶ τῆς παραγωγῆς, ἀλλ' ἐπὶ τοῦ παρασχηματισμοῦ στηρίζεται (πρβ. Lobeck. Προλεγ. Παθολ. σελ. 5), διότι παρασχηματισμός ἐστιν ea vocabulorum declinatio, qua intellectus non mutatur (ἐκείνη τῶν λέξεων ἡ κλίσις, δι' ἧς ἡ ἔννοια οὐ μεταβάλλει). Εἰ δὲ ταῦθ' οὕτως ἔχουσιν, εἰκός ἐστι πρὸ πάσης πλουσιωτέρας ἐκτυπώσεως τῶν ὀνοματικῶν στελεχῶν ἄλλον προϋπάρξαι χρόνον, καθ' ὃν ἤδη ἡ τάξις τῶν ὀνομάτων πρὸς διάκρισιν ἀπὸ τῆς τῶν ῥημάτων βαθέως ἐν τῇ τῆς γλώσσης συνειδήσει ἄνευ τῆς βοηθείας τῶν ὁμοιοσήμων τοῖς ἄρθροις τούτων στοιχείων ἐγκεχαραγμένη ἦν. Ὀνόματα ἄνευ ἐπιθεμάτων εἰσί, νομίζω, τοῖς ἐπιθεμάτων εὐμοιροῦσιν ἀπαραίτητος βαθμίς. Φαίνεται δὲ ὅτι κατ' ἀρχὰς τὸ ὄνομα ἁπλῶς ἦν ἀρνητικόν, ὅ ἐστι διὰ τούτου ἐδηλοῦτο ὅτι τῇ ῥίζῃ οὐδεμία ἦν προσηρτημένη ἀντωνυμία, ὡς τῷ ῥήματι, ὥστε διὰ ταύτης τῆς ἀντιθέσεως ἡ τοῦ ὀνόματος καὶ ῥήματος διάκρισις καθόλου τῇ τῆς γλώσσης συνειδήσει τὸ πρῶτον ἐπεφάνη. Ἡ ῥίζα καθ' ἑαυτὴν οὔτε ὀνοματικὴ οὔτε ῥηματικὴ ἦν. Ἔπειτα ἐπῆλθε χρόνος, καθ' ὃν μετὰ μὲν ἀντωνυμιῶν συνδεομένη ἀεὶ ῥηματική, γυμνὴ δὲ ὀνοματικὴ ἦν· προϊόντος δὲ τοῦ χρόνου διά τινος νέας τάσεως τοῦ πνεύματος τῆς γλώσσης νέα σύζευξις τῶν ἤδη ὀνομάτων γενομένων ῥιζῶν μετὰ ἐπιθεμάτων ἐνδεικτικῶν πρὸς ἀτομικὴν χαρακτήρισιν ἐπιτηδείων (individualisirenden) ἐπετεύχθη. Πρὸς ὑποστήριξιν δὲ τῆς ἡμετέρας χρονολογίας καί τις φθογγικὴ περίπτωσις ἔρχεται, δηλονότι μέγα, ὡς ἔοικε, μέρος τῶν ἁπλουστάτων μορφωτικῶν ἐπιθεμάτων ἐν τῇ σανσκρίτῃ ὅλως σῶον καὶ ἀκέραιον διετηρήθη, π. χ. τὰ ἐπιθέματα a, an, na, ma, ta, as, ra, ὅτε οὐδεμία τοῦ ῥήματος προσωπικὴ κατάληξις σῶα ἄνευ ἐξασθενίσεως διέμεινεν. Ὁ ἀρχαιότερος τῆς γλώσσης πλοῦτος ὑπέστη, ὡς εἰκός, καὶ τὰς πλείστας τῶν ἀλλοιώσεων, ἐξ οὗ συμπεραῖναι ἔξεστιν ὅτι οἱ ἧττον ἀπημβλυμένοι τῶν ἐπιθεμάτων τύποι νεώτεροί εἰσιν ἢ οἱ μεῖζον παραμορφωθέντες τῶν προσωπικῶν καταλήξεων.

Δ. ΠΕΡΙΟΔΟΣ ΤΗΣ ΤΩΝ ΘΕΜΑΤΩΝ ΜΟΡΦΩΣΕΩΣ.

Ἡ κατάστασις τῆς γλώσσης, οἵαν κατὰ τὴν προηγουμένην περίοδον ὑπεθέμεθα, εἶα ἀνισότητά τινα μεταξὺ τοῦ ῥήματος καὶ τοῦ ὀνόματος ὑφίστασθαι, διότι ἐκεῖνο μὲν διὰ ποικίλων καταλήξεων εἰς πολυσυλλάβους ἠρθροῦτο λέξεις, τὸ δὲ ὄνομα μονοσύλλαβον καὶ πάσης κλίσεως ἄμοιρον ἦν. Ἀλλὰ τοιαύτη κατάστασις ἐπὶ πολὺ διαρκέσαι οὐκ ἠδύνατο· διότι τὸ φθογγικὸν τῆς γλώσσης σύστημα τάσις τις πρὸς ἀμοιβαίαν ἐξίσωσιν καὶ ἰσορροπίαν καταλαμβάνει (Ἐγχειρ. Ἑλλ. Ἐτυμ. 3, 278), πολὺ δὲ μᾶλλον τὸ τῶν τύπων. Ἐνομίσαμεν πάντως ἀξιοῦν ἔχειν, ὅτι τῶν ἐπιθεμάτων ἡ προσάρτησις προσδιοριστικῷ τῷ τρόπῳ νεωτέρα εἴη τῆς τῶν κατηγορηματικῶν· εἰ δὲ καὶ καθ' ὃν χρόνον ἐπὶ μᾶλλον ἡ διακλάδωσις τῶν ῥηματικῶν τύπων ἀνεπτύχθη, π. χ. καθ' ὃν οἱ τοῦ μέσου διεμορφώθησαν, καὶ προσάμματα τοῦ δευτέρου τρόπου (δηλ. ὀνοματικὰ) οὐκ ἐπλάσθησαν, διαβεβαιῶσαι οὐκ ἔχομεν. Ἡ γλῶσσα κἀνταῦθα ἀπὸ τῶν ἁπλουστάτων ἀρξαμένη, ἀπὸ τῆς προσαρτήσεως ἁπλῶν φωνηέντων a, i, u, ἅγε πάντα ἀντωνυμικὰ ἦσαν στελέχη, καὶ περαιτέρω προέβη ἐπιθεματίζουσα καὶ συλλαβάς, ὡς an, as (1), ta, ma. Ἐπειδὴ δὲ ἐν τῇ γλώσσῃ οὐδὲν ὅλως ἐστὶ σημασίας ἄμοιρον, ἕπεται ὅτι καὶ ταῦτα τὰ ἀντωνυμικὰ θέματα εἶχον ἰδίαν ἕκαστον σημασίαν, ἐχρησίμευον εἰς ἰδιάζοντα τρόπον ἐνδείξεως· προῦκειτο περὶ λεπτοτάτης διαφορᾶς, οἵαν ἡμεῖς οἱ Γερμανοὶ μεταξὺ τοῦ er καὶ der (οὗτος καὶ ὅδε) dies καὶ das (τοῦτο καὶ τόδε) αἰσθανόμεθα. Εἰ δέ, ὡς ὀλίγον ἀνωτέρω εἴδομεν, ἡ προσδιοριστικὴ αὕτη ἐπιθεμάτισις (die attributive suffigirung) καθόλου τὴν δύναμιν εἶχε τὴν τοῦ στελέχους ὀνοματικὴν σημασίαν ἐξαίρειν, διὰ τῆς χρήσεως διαφόρων ἐπιθεμάτων εὐθὺς ἐπῆλθον διακρίσεις καὶ

(1) Ὁ Sonne παραδέχεται (Zeitschr. XII, 342), ὅτι τὸ ἐπίθεμα as τὴν ῥίζαν περιέχει as (εἶναι)· εἰ δὲ τοῦτ' ὀρθῶς ἔχοι, ὃ πολλοῦ γε δεῖ ἀποδεδεῖχθαι, τὸ ἐπίθεμα τοῦτο παντελῶς ἂν εἴη ἐκτὸς τῆς πρὸς τὰ ἄλλα τὰ πρωτογενῆ ἀναλογίας.

μάλιστα πάνυ ἰδιάζοντος τρόπου· διότι τοιούτων κατηγοριῶν διάκρισιν, οἵα ἐν ταῖς ὕστερον περιόδοις διεμορφώθη, καὶ καθ' οὓς χρόνους ἡ πρώτη τῶν θεμάτων συνέστη μόρφωσις, οὐκ ἔστιν, ὡς εἴδομεν, διανοεῖσθαι. Τὸ αὐτὸ a (o), ὃ ἐν τῷ σανσκρ. ag'-á-s (ὁ ὠθῶν) = ἀγό ς, σημαίνει τὸ ἐνεργοῦν πρόσωπον, ἐν τῷ bhâr-a-s (φορτίον) = φόρ-ο-ς πρὸς ἔνδειξιν χρησιμεύει πράγματος, ἐφ' ὃ ἡ ἐνέργεια τελεῖται· ἐκτὸς δὲ τούτου ἡ αὐτὴ λέξις ἀμφοτέρας ἔχει τὰς σημασίας, ag'á-s σημαίνει ὠθῶν καὶ ὤθησιν, πορείαν (πρβ. ag-men = σανσκρ. ag'-man), τὸ bhâr-as ὡς καὶ τὸ φόρο ς ἐν συνθέσει σημαίνει φορεύς. Ἐκ δὲ τῆς αὐτῆς ῥίζης ag διὰ τοῦ ἐπιθέματος -i ἐν τῇ σανσκρ. καὶ τοῦ -ων ἐν τῇ ἑλλ. ἡ ἔννοια τοῦ ἀγῶνος ἐν τῷ δρόμῳ, ἐν τῇ πάλῃ ἀνεπτύχθη, âg'-is = ἀγ-ών. Τούτοις δύο ἕτερα βοηθητικὰ προσετέθησαν μέσα, ἡ ἐκ τῆς προγενεστέρας περιόδου καταγομένη ἐπιφθόγγωσις καὶ ὁ τόνος· δι' αὐτῶν ἔτι μεῖζον πλῆθος διαφόρων τύπων κατέστη δυνατόν. Ἡ μὲν πρὸς διάκρισιν τάσις εὗρεν ἐνταῦθα ἀφθονωτάτην τροφήν, ἀλλὰ δυσκόλως κατορθοῦται, ὥστε τῆς ἐφ' ἑκάστῃ περιπτώσει ληφθείσης ἀποφάσεως ἴδιόν τινα λόγον μαντεῦσαι· ὁ δεσμὸς ὁ ἀναμφρίστως τὴν τῆς λέξεως σημασίαν συνδέων μετὰ τοῦ μορφωτικοῦ ἐπιθέματος λίαν μυστηριώδης ἐστίν· οὐ δυνάμεθα σχεδὸν μὴ οὐ παραδέξασθαι, ὅτι τὰ ὀνοματικὰ στελέχη ἐξ ἀρχαίων χρόνων ἐν μεγάλῃ ἀνεβλάστησαν περισσείᾳ, ἥτις ὡς πρὸς τὸν περιωρισμένον ἀριθμὸν καὶ τὴν ἁπλότητα τῶν ῥηματικῶν καταλήξεων ἐκφαντικωτάτην παρέχει ἀντίθεσιν· οὕτω πλῆθος προῆλθε συνωνύμων, ἃ διὰ μακρᾶς χρήσεως εὐκρινέστερον ἀπ' ἀλλήλων διεκρίθησαν. Τοῦτο δὲ πολλάκις μετὰ τὴν ἀποχώρισιν ἐπελθὸν τῶν γλωσσῶν παραίτιον ἐγένετο, ἵνα μηδαμῶς πλήρης τῶν συγγενῶν γλωσσῶν ὑπάρχῃ ἐν τούτοις συμφωνία, ὡς ἐν τῇ ῥηματικῇ κλίσει.

Κατὰ ταύτην δὲ τὴν περίοδον εἰκὸς καὶ τὴν ἔννοιαν τοῦ γραμματικοῦ γένους ἐπελθεῖν τῇ τῆς γλώσσης αἰσθήσει, καὶ κατ' ἀρχὰς μόνον τὴν τοῦ ἀρσενικοῦ καὶ θηλυκοῦ· αἱ μὲν ἄνευ ἐπιθεμάτων λέξεις οὐδεμίαν γένους διάκρισιν ἐκφράζειν δύνανται, ἀλλὰ διὰ τῶν φωνηέντων a, i, u ἐκφανὴς ἡ διάκρισις ἐγένετο, τοῦ θηλυκοῦ γένους δι' ἐκτάσεως τοῦ φωνήεντος χαρακτηριζομένου, μάλιστα τοῦ a, εἰς ὃ ὅλως ἡ τάσις αὕτη καὶ ἐπὶ τοσοῦτον εἰςέδυσεν, ὥστε πάντα τὰ εἰς a λήγοντα ἐπιθέματα περιλαβεῖν· καὶ τὰ πλεῖστα δὲ τῶν ἀντωνυμικῶν θεμάτων κατὰ τὸν αὐτὸν χρόνον εἰκὸς τὸ αὐτὸ παθεῖν. Καὶ ἐν ταύτῃ τῇ περιπτώσει πρόκειται χρονολογικόν τι σημεῖον, διότι εἴπερ ἡ πρὸς διάκρισιν τοῦ γένους τάσις ἦν ἤδη ἐξεγηγερμένη, πρὶν ἢ τὸ κατηγορηματικὸν ἐπίθεμα ἐν τοῖς ῥηματικοῖς τύποις συστῇ, ἐμέλλομεν ἐν τούτοις, ὡς ἐν τῷ σημιτικῷ ῥήματι, διάκρισιν γένους ἀνευρίσκειν· ἐν χρόνοις, καθ' οὓς τὸ ta(ὅς) τοῦ tâ(ἡ) διεκρίνετο, ἀδύνατον ἦν προελθεῖν τὸ ὡς πρὸς τὸ γένος ἀδιάφορον ta, ὕστερον ti. Ἡ παντελὴς ἔλλειψις διακρίσεως τοῦ γένους ἐν τῷ διατετυπωμένῳ ῥήματι εἴη ἂν ἐκ τῶν σαφεστάτων ἐνδείξεων ἅμα τῷ διαφόρῳ τῶν πληθυντικῶν (σελ. 209) σχηματισμῷ, ὅτι οἱ ἀνεπτυγμένοι ῥηματικοὶ τύποι προγενέστεροι τῶν ὀνοματικῶν εἰσιν. Ἀφ' οὗ τὰ ἁπλᾶ ἀντωνυμικὰ στελέχη τὴν ἑαυτῶν ἐξεπλήρωσαν ὑπηρεσίαν ὡς προσδιοριστικὰ ἐπιθέματα, ἔμενεν ἔτι τὸ τῆς συνθέσεως πλειόνων μέσον, ὥστε ἀντὶ τοῦ der καὶ er (ὅδε, οὗτος) der da, er da (ὁδί, οὑτοσί), καὶ ἀντὶ τοῦ dies καὶ das (τοῦτο, τόδε) dies da, das da (τουτί, τοδί) εἰς χρῆσιν ἦλθον· ἐξ οὗ δισύλλαβα συνέστησαν ἐπιθέματα an-a, ma-na, ta-va, ta-ra, εἰς ποικιλίαν ὑποκείμενα ἐκτάσεώς τε ἕνεκα καὶ διαφόρου τονισμοῦ καὶ διακρίσεως γένους. Ἴσως δὲ κατὰ ταύτην τὴν περίοδον καὶ ἄλλο τι νέον παραδεκτέον πολλαπλασιάσεως τῶν τύπων εἶδος, διὰ βραχύνσεως τῶν προδεδημιουργημένων συνθέτων ἐπιθεμάτων· διότι εἴδομεν ἐν τῇ προηγουμένῃ περιόδῳ ἰδίᾳ ῥηματικὰς καταλήξεις πολυσυλλάβους καὶ ὑπὸ πολλῆς ἐν τῷ τῶν λέξεων σώματι ἐπιβαρυνομένας ὕλης δι' ἐπιλεπτύνσεως καὶ ἀπαμβλύνσεως κουφοτέρας γιγνομένας· ὥστε οὐδὲν ἄτοπον παρόμοιόν τι παραδέξασθαι καὶ περὶ τῶν ὀνοματικῶν θεμάτων. Δύο τῶν συνηθεστάτων ὀνοματικῶν ἐπιθεμάτων καὶ ἀναμφρίστως ἀρχαιότερα τῆς τῶν γλωσσῶν ἀποχωρίσεως, τὸ ant καὶ tar ἐξ ἀντωνυμικῶν διευκρινοῦνται στελεχῶν· διότι τὸ μὲν ant εἰς τὸ ἀρχαιότερον an-ta ἀναγαγεῖν δυνάμεθα, οὗ τὸ δεύτερον μέρος τὸ τελικὸν a ἀπώλεσε, τὸ δὲ tar μετὰ Schleicher (Compend. 3,•427) εἰς τὸ ta-ra. Εἰ δὲ ἡ διασάφησις αὕτη ὀρθή, ἔστι δὲ τοὐλάχιστον διὰ τὴν ἁπλότητα αὐτῆς οὐκ ἀπόβλητος, νέον οὐκ εὐκαταφρόνητον περιλαμβάνει χρονολογικὸν στοιχεῖον. Ἐν χρόνῳ, καθ' ὃν ἤδη οἱ πτωτικοὶ ὑπῆρχον τύποι, τοιαύτη τοῦ τελικοῦ φωνήεντος ἀποβολὴ ἀκατάληπτος ἂν ἦν· διότι ἡ πτωτικὴ κατάληξις ὀχύρωμα κατὰ τῶν παραμορφώσεων καὶ κολοβώσεων τοῦ στελέχους ἐστίν. Ἐν τῇ ὀνομαστικῇ συγκοπῇ τοῦ bharanta-s εἰς bharant-s καὶ τοῦ dâtara-s εἰς dâtar-s τοὐλά

χιστον ἐξ ἀναλογίας τοιούτων ἀλλοιώσεων ἐν ὑστέραις περιόδοις καταληπτὴ ἂν εἴη, ἀλλ' ἐν ταῖς ἄλλαις πτώσεσιν οὐδὲν ὑπάρχει κοινὸν μεταξὺ τῶν bharanta-sja καὶ bharant-as (γεν.), μεταξὺ τοῦ dâtara-i (τοπ.) καὶ dâtar-i· τὸ δὲ πρᾶγμα εὐκατάληπτον, ὡς παραδεχθῶμεν περίοδον, καθ' ἣν ποικίλος μὲν θεμάτων, οὐ μὴν καὶ πτώσεων εἰσέτι ὑπῆρχε σχηματισμός. Τὰ στελέχη bharanta, dâtara, καθ' ὅσον ἄνευ καταλήξεως ὑπῆρχον, ἐκτεθειμένα εἰς τὴν ἐξασθένισιν ἦσαν, ὡς οἱ ῥηματικοὶ τύποι bhar-ta ἢ ba-bhar-ta, dâ-ta ἢ da-dâ-ta, καὶ ὡς τὰ τελευταῖα εἰς bhar-ti, bi-bhar-ti καὶ τῆς αὐξήσεως προτασομένης, εἰς a-bhar-t, a-bi-bhar-t, a-dâ-t, οὕτως ἄρα, ἀλλὰ μόνον ταύτῃ τοῖς ὀνοματικοῖς στελέχεσιν εὐκόλως ἠδύνατο τὸ αὐτὸ ἐπελθεῖν. Ἡ ἀποκοπή, ἣν ἐν τῇ ληγούσῃ ὑπέστησαν, τὸ σημεῖόν ἐστι, δι' οὗ τὰ ἀρχαῖα δυνάμεθα τῆς λέξεως ἀνευρεῖν ὅρια, ὡς παρὰ ταῖς ὄχθαις ὀρεσικοίτου λίμνης τὸ ἀρχαῖον τῶν ὑδάτων ὕψος μακρὸν χρόνον, ἀφ' οὗ ταῦτα ἀπεσύρθησαν, ἴχνη ἐπαφίησι καταφανῆ. Ἡ αὐτὴ ἀρχὴ δύναται καὶ ἐπὶ ἄλλων τύπων ἐφαρμοσθῆναι, οἷον ἐπὶ τοῦ μεμονωμένου t ἐν τύποις, οἷοι οἱ σανσκρ. g'-i-t, οἱ ἑλλ. ἀγνω-τ, ἐπὶ τοῦ ἐπιθέματος mant, ὃ εἰς ma-na-ta ἀποσυνθετέον, ἐπὶ τοῦ -k ἐν ἑλληνικαῖς λέξεσιν ὡς φύλαξ, ἐν λατινικαῖς ὡς senex. Ἑνὶ λόγῳ κατ' αὐτὸν τὸν τρόπον σειρὰ ὅλη λύεται ζητημάτων εἰς τὸν σχηματισμὸν τῶν λέξεων ἀναφερομένων, ἃ ἄλλως ἄλυτα ἄνευ ἀπαντήσεως ἔμενον ἄν.

Ἀλλὰ τὰ οὕτω σχηματισθέντα ὀνοματικὰ στελέχη ἔχουσιν ὡσαύτως καὶ πρὸς ἄλλον τινὰ γλωσσικὸν περίβολον τὴν σπουδαιότητα αὐτῶν, πρὸς τὸν τῆς ῥηματικῆς μορφώσεως. Ὅπως κατανοῆσαι δυνηθῶμεν, πῶς ὀνοματικὰ στελέχη ὡς ῥηματικὰ λειτουργοῦσι καὶ δύνανται τρόπον τινὰ τῆς τῶν ῥιζῶν περιοχῆς ἀντιποιεῖσθαι, ὀφείλομεν ἀναμνησθῆναι ὅτι κατὰ ταύτην τὴν βαθμίδα τῆς ἱστορίας τῆς γλώσσης οὐδαμῶς πω τὰ ὀνόματα καὶ ῥήματα τοσούτῳ ἐκφαντορικῶς διεκρίνοντο, ὅσῳ ἐν τῇ μεταγενεστέρᾳ γλώσσῃ. Ἐν τῇ τῆς γλώσσης καταστάσει, τῇ διὰ μνημείων ἡμῖν παραδοθείσῃ, τὸ ὄνομα οὐ μόνον κατὰ τὸν τύπον, ἀλλ' ἐκτὸς τῆς μετοχῆς καὶ τοῦ ἀπαρεμφάτου, ἃ καλεῖν ῥηματικὰ ὀνόματα δυνάμεθα, καὶ καθ' ἣν συντάσσεται πτῶσιν, ἀπὸ τοῦ ῥήματος διαφέρει, διότι αὐτὸ μὲν ὡς συμπληρωτικὴν πτῶσιν λαμβάνει τὴν γενικήν, τὸ δὲ ῥῆμα ὡς ἐπὶ τὸ πλεῖστον τὴν αἰτιατικήν (1), καὶ τὸ μὲν οὐσιαστικὸν ὄνομα ἀκριβέστερον δι' ἐπιθέτων προσδιορίζεται, τὸ δὲ ῥῆμα δι' ἐπιρρημάτων· πρὸς δὲ τὸ ὄνομα εἰς σειρὰν ὑπόκειται πτωτικῶν τύπων ὅλως διαφόρων τῶν ῥηματικῶν. Περὶ πασῶν τούτων τῶν διαφορῶν οὐδένα λόγον κατὰ ταύτην τὴν περίοδον ἀρχαιοτέραν οὖσαν τῆς τῶν πτώσεων μορφώσεως δυνάμεθα ποιήσασθαι· διότι τὰ ἀρχαιότατα τῶν ὀνομάτων, ὡς εἴδομεν (σ. 212), οὐδόλως τῶν ῥηματικῶν διέφερον θεμάτων. Κατὰ δὴ ταῦτα εἰκὸς ἦν τὴν αἴσθησιν γεννηθῆναι, ὅτι τὸ ὄνομα τρόπον τινὰ οὐδὲν ἄλλο ἢ ῥηματικὸν εἴη στέλεχος ἄνευ ἐνδείξεως ὑποκειμένου· ἐξ οὗ δῆλον καθίσταται, ὅτι κατ' ἀναλογίαν τῶν ἀρχαιοτάτων ἐκείνων ὀνομάτων sad, bhar, ἄλλα νεώτερον φέροντα τύπον sada, bhara καὶ εἰδικὸν ὀνοματικὸν σχηματισμόν, εἰς κατηγορηματικὴν μετὰ τῶν προσωπικῶν καταλήξεων ἦλθον σύνδεσιν καὶ ῥήματα ἀπέβησαν. Οὕτω δὴ πλησίον τῶν θεματικῶν ὀνοματικῶν στελεχῶν ἐπῆλθον οἱ θεματικοὶ ῥηματικοὶ τύποι.

Τὸ φωνῆεν, δι' οὗ τύπος οἷος ὁ bhar-a-ti ἀπὸ τοῦ bhar-ti καὶ ὁ ed-i-t ἀπὸ τοῦ es-t διακρίνεται, ἄλλοτε κατά τινα ἀρχαιοτέραν θεωρίαν ὡς συνδετικὸν ἐθεώρησα διὰ τὸν ἑξῆς μάλιστα λόγον, ὅτι πᾶσαι μὲν αἱ ἄλλαι αἱ μέχρις ἐκείνου τοῦ χρόνου προταθεῖσαι περὶ τοῦ φωνήεντος διασαφήσεις ἐλλιπεῖς ἐφάνησάν μοι, καὶ καθόλου δὲ ἀδύνατον ἦν τῆς παρεμβολῆς τοῦ φθόγγου a ἐν τῷ σώματι ῥηματικοῦ τύπου, ὃς καὶ ἄνευ τούτου βιώσιμος ὑπῆρχεν, ἐξήγησιν ἀποχρῶσαν εὑρεῖν. Ἀλλ' ἐπανειλημμένως καὶ μετὰ προσοχῆς τὴν κατασκευὴν τῶν ἰνδοευρωπαϊκῶν τύπων ὡς σύνολον ἐξετάζων ἐπείσθην, ὅτι οἱ ἀντιστρατευόμενοι λόγοι κατὰ τῆς θεωρίας, ὡς δὴ τοῦ φωνήεντος τούτου ἁπλῶς φωνητική τις παρεμβολὴ εἴη τὴν τῶν συμφώνων ἐμποδίζουσα συσσώρευσιν, μεῖζον ἔχουσι βάρος. Ἐκ τούτων σπουδαιότεροί εἰσιν οἱ ἑξῆς·

α) Ἐν ἄλλοις ῥηματικοῖς καὶ ὀνοματικοῖς τύποις ἡ γλῶσσα οὐδαμῶς τὰς τῶν συμφώνων ἀποφεύγει σωρεύσεις, ὅσαι τῇ τῶν συνδετικῶν φωνηέντων ἀποβολῇ τυγχάνουσι συμπίπτουσαι. Εἰ ἦγ μαι, ἦξ αι, ἦκ ται, ἀκτό-ς, ag-men, ac-tio, λέγεται, διὰ τί οὐχὶ καὶ ag-mi, ak-si, ak-ti; Ἡ ἐπένθεσις βοηθητικοῦ φωνήεντος, ἣν

(1) Ἐν τῇ Βαιδικῇ διαλέκτῳ οὐκ ὀλίγα οὐσιαστικὰ κατ' ἀναλογίαν τοῦ ῥήματος συντακτικὴν ἔχουσιν ἔτι τὴν αἰτιατικήν. — Τοιοῦτόν τι καὶ περ σπανιώτερον καὶ ἐν τῇ ἑλληνικῇ παρατηρεῖται, οἷον ἐπιστήμων ταῦτα, τὰ μετέωρα φροντιστής, ἔξαρνοι τὰ ὡμολογημένα κτλ.

Η. Β.

ἐπὶ μεταγενεστέρων περιόδων οὐκ ἔστιν ἀπαρνήσασθαι, βεβαίως, ὡς αἱ πολλαὶ ἐξασθενίσεις καὶ ἀποβολαί, ἐξ ὧν οἱ νεώτεροι τῶν ἀρχαιοτέρων διακρίνονται τύπων, ἐπὶ χαλαρώσεως τῆς ἐναρθρωτικῆς στηρίζεται δυνάμεως (1). Εἰ δὴ ἐπὶ τῆς περιόδου τῆς ὀργανώσεως πᾶν ὅ,τι καλεῖται ἴσχνανσις καὶ ὑποφθόγγωσις μετὰ μεγίστης παραδεχόμεθα ἐπιφυλάξεως, ἐκ τῶν προτέρων οὐκ ἔστι πιθανόν, ὅτι αὕτη τὴν χρῆσιν συνδετικοῦ τινος φωνήεντος ἐγίνωσκεν.

β) Τὸ οὕτω καλούμενον συνδετικὸν φωνῆεν ὅλως τοῖς τῶν στελεχῶν τελικοῖς φωνήεσι συμφωνεῖ, ἐκτεινόμενον, ὡς ἐκεῖνα· tudâ-mi, bôdhâ-mi, ὡς φη-μί, ti-shthâ-mi=ἵ-στη-μι, âpnô-mi, πρβ. δείκνῡ-μι.

γ) Ἐν τῇ ὑποτακτικῇ συνδετικῷ συνεζευγμένῃ φωνήεντι τὸ συνδετικὸν φωνῆεν ἐκτείνεται, τοῦτο δὲ καὶ πρὸς σχηματισμὸν τῆς εὐκτικῆς λαμβάνεται· σανσκρ. ag'â-ti=ἄγη-σι, ag'êt (ê=ai)=ἄγοι (τ). Ἀνήκει ἄρα τοῖς ἔν τισιν ὁρίοις στερεῶς διαμένουσι στοιχείοις, ὧν τὴν ἕνωσιν στέλεχος καλοῦμεν. Τὸ αὐτὸ ῥητέον καὶ περὶ τοῦ ἑλληνικοῦ ἀπαρεμφάτου ἀγ-έμεναι ἐν ἀντιθέσει πρὸς τὸ ἔδ-μεναι, καὶ περὶ τῆς μέσης μετοχῆς ἀγ-ό-μενος.

δ) Τὸ φωνῆεν τοῦτο ἐνίοτε βεβαίως ληκτικὸν τοῦ στελέχους ἐστὶ φωνῆεν μάλιστα ἐν τῇ 4ῃ τάξει ἤτοι τῇ εἰς ι. Ἂν δὲ χάριν τῆς εἰδικῆς ἀνάγκης τῆς ἑλληνικῆς γραμματικῆς, ἥτις βεβαίως ὀνόματός τινος χρῄζει περὶ τοῦ τοσοῦτον ἐπεκταθέντος καὶ κανονικοῦ καταστάντος φωνήεντος, τὸ ἰδίομεν διέλωμεν εἰς ἰδ-ί-ο-μεν, τὸ σανσκρ. ὅμως svid-jâ-mas δείκνυσιν, ὅτι κυρίως οὐχὶ i ἀλλὰ ja εἰς τὸ ῥηματικὸν στέλεχος προσηρτήθη· ὥστε τὸ ο ἐνταῦθα τοὐλάχιστον οὐκ ἔστι συνδετικὸν φωνῆεν. Τὰ αὐτὰ ἰσχύουσι καὶ περὶ τύπων, οἷος ὁ λατ. si-sti-mus ἀντιστοιχῶν πρὸς τὸν ἑλλ. ἵ-στα-μες (ἀντὶ σί-στα-μες), καὶ περὶ τοῦ sjâ-mi=σίω λατ. ero τοῦ μέλλοντος, ἔνθα ὡσαύτως τὸ φωνῆεν μετὰ τὸ j ἤτοι i κείμενον ὁλοκληρωτικόν ἐστιν, ὡς ὀψόμεθα, τοῦ τύπου συστατικὸν μόριον.

ε) Ἀλλ' ὁ ἑξῆς λόγος κατ' ἐμὲ πειστικώτατός ἐστι. Τὸ συνδετικὸν φωνῆεν ὡς πρὸς τὸν φθόγγον ταὐτόν ἐστι τῷ τῆς ὑποτακτικῆς ἐν τῇ συνδετικοῦ φωνήεντος ἀμοιρούσῃ συζυγίᾳ. Τὸ bhar-a-ti ἐστὶν ὑποτακτικὴ μὲν ὡς πρὸς τὸ bhar-ti, ὁριστικὴ δὲ ὡς πρὸς τὸ πρῶτον πρόσωπον τοῦ ἑνικοῦ bhar-â-mi, ἴ-ο-μεν: ἵ-μεν= δεικνύ-ο-μεν: δείκ-νυ-μεν. Ἐκ τούτων βεβαίως οὕπω ἐξάγεται, ὅτι ἀμφότερα τὰ φωνήεντα κατ' ἀρχὰς ἓν καὶ τὸ αὐτὸ ἦσαν, ἀλλ' ἐπειδὴ φθογγικῶς ἕν εἰσιν, ἡ ἀρχέγονος αὐτῶν ταὐτότης πιθανωτάτη, ὡς ἀποδειχθῇ, ὅτι ταῦτα ἐν τῇ ἀρχῇ τὸ αὐτὸ εἶναι δύνανται, καὶ τοῦτο ἐλπίζω ἀποδείξειν δυνήσεσθαι.

Καὶ εἰς μὲν τὸ ζήτημα τοῦτο ὀλίγῳ ὕστερον ἐπανέρχομαι· νῦν δ' ἐκείνους τοὺς ῥηματικοὺς ἐπιθεωρήσομεν τύπους, οὓς νομίζομεν καλεῖν θεματικοὺς δύνασθαι. Ἀνμετὰ Schleicher (Compend. 3,750) τὸν φθόγγον a, περὶ οὗ ὁ λόγος, ὡς τελικὸν τοῦ θέματος φωνῆεν θεωρήσωμεν, προκύπτει τότε φθογγικῶς πλήρης παραλληλισμὸς ἔνθεν μὲν μεταξὺ τῶν θεμάτων, οἷον bhara, tuda, ἐξ ὧν οἱ τοῦ ἐνεστῶτος τύποι bharâ-mi, tu-da-ti, καὶ τῶν ὁμοιοφώνων ὀνοματικῶν θεμάτων, ἐξ ὧν οἱ πτωτικοὶ τύποι bhara-s ἐν συνθέσει (φέρων), tuda-m (αἰτ. ὠθοῦντα) καὶ κύριον ὄνομα Tuda-s· ἔνθεν δὲ μεταξὺ τῶν ἐχόντων τὴν θεματικὴν συλλαβὴν ἐπερρωμένην τύπων, οἷον bô-dhâ-mi (γιγνώσκω) τουτέστι baudâ-mi, καὶ τῶν ὀνοματικῶν bôda-s (=bauda-s) γνῶσις, καὶ tôda-s (=tauda-s) ὠθῶν. Ἡ ἐπίσχυσις τοῦ φωνήεντος οὔτ' ἐν τοῖς περὶ ὧν ὁ λόγος ῥηματικοῖς τύποις, οὔτ' ἐν τοῖς ὀνοματικοῖς ἐκ τῶν ἀπαραιτήτων ἐστίν. Ἐπειδὴ δὲ πάντες οἱ ὁμοιόφωνοι-

(1) «Πᾶς φθόγγος ὅπως ἐκφωνηθῇ, ἀπαιτεῖ δύναμίν τινα τῶν μυῶν κατὰ τὸ μᾶλλον καὶ ἧττον μεγάλην· ἔστιν ἐνάρθρωσις ἀνδρική, ἰσχυρὰ καὶ σαφής, καὶ προφορὰ ἐκτεθηλυμένη, μαλθακὴ καὶ ἀσαφής· ἡ μὲν πρώτη ἀπαιτεῖ θέλησιν, ἡ δὲ δευτέρα ἀνειμένη ἐστίν. Τῆς φωνητικῆς ἀλλοιώσεως τῆς γλώσσης πρωτεύουσα αἰτία ἡ ἔλλειψις τῆς τῶν μυῶν ἐνεργείας καὶ ἐπέρχεται, ὅταν ὑπὸ ῥᾳθυμίας τὴν φειδωλὴν ἐπιζητῇ τις χρῆσιν τῆς πνοῆς καὶ τῆς τῶν μυῶν ἰσχύος. Τῆς αὐτῆς δ' αἰτίας ἀποτέλεσμά ἐστι καὶ ἡ ἐπένθεσις συμφώνου, οἷον ἄνδρες, ἀμβροσία ἀντὶ ἄνρες, ἀμροσία, διότι τῶν τελευταίων ἡ προφορὰ δυσκολωτέρα. Συνήθως οἱ γραμματικοὶ τὰς μεταβολὰς ταύτας καὶ τὰς ὁμοίας αὐταῖς τῇ εὐφωνίᾳ ἀπονέμουσιν. Ἀλλὰ τότε πῶς ἑλληνικὸν οὖς λέξεις ἠνείχετο τοιαύτας, οἵαι αἱ χθών, φθόγγος; Νομίζω ὅτι τὸ μυστήριον τῆς ὑποτιθεμένης ταύτης τῶν Ἑλλήνων ἀποστροφῆς κατά τινων φθόγγων οὐδὲν ἄλλο ἢ ἡ ῥᾳθυμία ἐστίν» (Max Müller nouv. Lect. 1, 222—γαλλ. μεταφρ.). Τὴν περὶ εὐφωνίας γνώμην ἐκληροδότησαν τοῖς γραμματικοῖς αὐτοὶ οἱ φιλόσοφοι· οἷον ὁ Πλάτων ἐν τῷ Κρατύλῳ σελ. 414 τῶν μεταβολῶν καὶ ἀλλοιώσεων τῶν λέξεων αἰτίαν ἀναγνωρίζει τὴν εὐστομίαν· «Ὦ μακάριε, οὐκ οἶσθ' ὅτι τὰ πρῶτα ὀνόματα τεθέντα κατακέχωσται ἤδη ὑπὸ τῶν βουλομένων τραγῳδεῖν αὐτά, περιπιθέντων γράμματα καὶ ἐξαιρούντων εὐστομίας ἕνεκα καὶ πανταχῇ στρεφόντων καὶ ὑπὸ καλλωπισμοῦ καὶ ὑπὸ χρόνου;—ἀλλὰ τοιαῦτα, οἶμαι, οἱ τῆς μὲν ἀληθείας οὐδὲν φροντίζοντες, τὸ δὲ στόμα πλάττοντες, ὥστ' ἐπεμβάλλοντες πολλὰ ἐπὶ τὰ πρῶτα ὀνόματα τελευτῶντες ποιοῦσι μηδ' ἂν ἕνα ἀνθρώπων συνεῖναι ὅπι ποτὲ βούλεται τὸ ὄνομα». Η. Β.

τύποι τὴν πιθανότητα μάλιστα ὑπὲρ ἑαυτῶν ἔχουσιν, ὅτι ἀρχῆθέν εἰσιν ὅμοιοι, τοῦ κόπου ἀντάξιόν ἐστι ζητῆσαι, εἰ οὐ κἀνταῦθα τὴν ἐξ ἀρχῆς ταὐτότητα παραδεκτέον. Ἡ γνώμη αὕτη οὐκ ἔστι νέα· διότι ὁ Steinthal ἤδη ἐξήνεγκεν αὐτὴν ἐν τῇ ἑαυτοῦ Χαρακτηριστικῇ σελ. 291 ἑρμηνεύων τὴν τῶν ὀνοματικῶν θεμάτων bhara, tuda εἰσαγωγὴν ἀντὶ τῶν ῥιζῶν bhar, tud, ὡς ἐκ τῆς ἀποπείρας, ἵνα τῆς πράξεως ἡ διάρκεια κάλλιον ἐκδηλωθῇ· ὥστ' ἐν ἀντιθέσει πρὸς τὸ bhar-ti, tud-ti φέρει, ὠθεῖ, τὸ bhara-ti, tuda-ti ἐσήμαινεν ἀνφέρων οὗτος, ὠθῶν οὗτος, ἢ ἐν ἄλλαις λέξεσιν ἔστι φέρων, ἔστιν ὠθῶν. Ἀναλογισάσθω τις φράσεις τοιάσδε· «ἔστε πρακτῆρες τοῦ λόγου, ἀλλὰ μὴμόνον ἀκροαταὶ (seid Thæter des worts und nicht Hörer allein)». Ποία δέ τις διαφορὰ μεταξὺ τοῦ φέρει τὸν λόγον καὶ ἔστι λογοφόρος! Παρόμοιαι δὲ περίπου εἰσὶ καί τινες ἀγγλικαὶ περιφράσεις, οἷον he is writing (ἔστι γράφων) πλησίον τοῦ he writes (γράφει). Ἡ κατηγορία τῆς διαρκούσης πράξεως, τὸ πρῶτον τῇ τῆς γλώσσης συνειδήσει ἐν τῷ ὀνόματι παραστᾶσα, ἦλθεν ἂν εὐθὺς εἰς χρῆσιν ἐνταῦθα καὶ ἐν τῷ ῥήματι· ὥστ' ἐν τούτοις προεισόδιον εἴχομεν ἂν μέσου τινὸς τῆς γλώσσης πολλῷ μεταγενεστέρου, ἐξ ὀνόματος τὸ τοῦ ἐνεστῶτος θεματικὸν παράγειν, π. χ. μηκά-ο-μαι παρὰ τῷ μέμηκα, sona-re πλησίον τοῦ son-ui. Ἀλλ' ἐν τῇ ἀρχαίᾳ ταύτῃ βαθμίδι οὐδεμιᾶς παραγωγικῆς καταλήξεως ἢ ὀρθότερον εἰπεῖν οὐδενὸς βοηθητικοῦ ῥήματος ἦν χρεία, ὅπως τὸ ὀνοματικὸν στέλεχος εἰς ῥηματικόν, δηλ. τοῦ ἐνεστῶτος θέμα μετατραπῇ· ἀπὸ τῶν κυρίων ὅμως παρωνύμων ῥηματικῶν τύπων διακριτέον πάντοτε ταῦτα τὰ θεματικά. Ὁμολογῶ ὅτι ἡ διασάρησις αὕτη ἀρέσκει μοι λίαν καὶ φαίνεταί μοι καὶ ἐπὶ σειρᾶς ἄλλων τύπων μέγα φῶς ἐπιχέειν· καὶ πρῶτον δι' αὐτοῦ τοῦ τρόπου εὐκατάληπτον ἀποβαίνει, διὰ τί τοσούτῳ πολλὰ ἐνεστῶτος θέματα μὴ πεπλατυσμένα ὡς bharâmi = φέρω, agâ-mi = ἄγω κτλ. διάρκειαν σημαίνουσιν ὡς καὶ τὰ πεπλατυσμένα· διότι τὸ τῆς διαρκείας στοιχεῖον ἦν ἤδη ἐν τῷ τῇ ῥίζῃ προσαρθέντι φωνήεντι. Ἐκ τούτων ἀνοίγεται ἡμῖν ἡ ὁδὸς πρὸς θεώρησιν ἄλλων τρόπων σχηματισμοῦ τοῦ ἐνεστῶτος, ἐν οἷς πρότερον πολλὰ ὀνοματικὰ ἐτεκμήραντο θέματα ὑπάρχειν. Ἡ συλλαβὴ nu = νυ, δι' ἧς τὸ σανσκρ. r-nu ἑλλ. ὀρ-νυ ἀπὸ τῆς ῥίζης ar, ὀρ, ἡ συλλαβὴ na (nâ, nî) = ἑλλ. να (νη), δι' ἧς τὸ σανσκρ. ju-nâ ἀπὸ τῆς ῥίζης ju, τὸ ἑλλ. σκιδ-να ἀπὸ τῆς ῥίζης σκιδ διακρίνεται, θεωροῦνται ὑπὸ Benfey (Allg. Monatsschr. 1854 σελ. 739) ταὐτὰ τοῖς ὀνοματικοῖς ἐπιθέμασι -nu καὶ na. Οὕτω δὴ καὶ ἄλλαι τοῦ ἐνεστῶτος ἔνρινοι διαπλατύνσεις, ὡς ἡ πρὸς τοὺς ἑλληνικοὺς τοῦ ἐνεστῶτος τύπους εἰς -ανω ἀντιστοιχοῦσα σανσκρ. -ana (Schleich. Compend. 3,766) ἢ -âna (Bopp Συγκρ. Γραμμ. 3 σ. 104 γαλλ. μετ.) ἁπλῆς τυγχάνουσιν ἐξηγήσεως, καθὰ δὴ καὶ Σχλεΐχερος τὰς εὐρύνσεις ταύτας εἰς ὀνοματικοὺς τύπους ἀνάγει. Περὶ τῆς ὑπάρξεως ὀνοματικῶν θεμάτων, οἷον su-nu, svap-na, ἐν τοῖς τῆς γλωσσικῆς ἑνότητος χρόνοις οὐδεμία ὑπάρχει ἀμφιβολία μετὰ τὰ ὑπὸ Schleicher (Compend. 3,418) ἐπενεχθέντα· περί τινων δ' ἐκ τῶν ἐνταῦθα ἀναφερομένων καὶ Kuhn (Zeitschr. II, 392) ἐπραγματεύσατο· τοὐναντίον δὲ αἱ Βενφεϊκαὶ ἀναλύσεις ἐν τῷ περιοδικῷ Orient und Occident (I, 423. III, 217), καθ' ἃς τύποι τοσοῦτον ἀρχαῖοι δι' ἀδικαιολογήτων φωνητικῶν ἐξασθενίσεων ἀκρωτηριασθεῖεν ἐκ ῥημάτων μετὰ τῆς παραγώγου ja συνημμένων, οὐδεμίαν ἐπ' ἐμοὶ ἔχουσι πειθώ· ἀλλὰ νομίζω πάλιν ὅτι καὶ ἡ ὑπ' ἐμοῦ ἐν τῷ συγγράμματι, Tempora und Modi, ἐκτεθεῖσα θεωρία οὐκ ἔτι ὑποστηρίζιμός ἐστιν. Ἐν αὐτῇ πάσας τὰς τοῦ ἐνεστῶτος εὐρύνσεις, ὅσαι συλλαβὴν μετὰ τοῦ n περιλαμβάνουσι, διὰ ῥινοφθογγίσεως ἐπεζήτησα ἑρμηνεῦσαι, τουτέστι δι' ἀποπείρας, ἵνα τῇ ἐπενθέσει ἐνρίνου φθόγγου, τὸ θέμα πληρέστερον καταστῇ. Ἀλλ' ἡ ἑρμηνεία αὕτη προδήλως οὐκ ἐπαρκεῖ· διότι δυσκατάληπτόν ἐστι, πῶς ἂν ἡ γλῶσσα ἤσθετο τὴν ἀνάγκην τὴν ῥίζαν π. χ. ar ἐνισχῦσαι διὰ τοῦ n, ἔτι δὲ μᾶλλον ἀκατάληπτος ἂν ἦν ἡ ἁπλῶς φθογγικὴ τοῦ a προσθήκη καὶ μάλιστα ἡ τοῦ u. Ἡ ἐμὴ ἀρχαία δοξασία ἐπὶ τῆς παραδοχῆς ἐστηρίζετο εὐρυτάτης χρήσεως συνδετικῶν καὶ βοηθητικῶν φωνηέντων, ἥγε ὅμως νῦν, δι' οὓς ἐξέθηκα λόγους, ἐν ἀπωτάτῳ μάλιστα περιόδῳ τῆς ζωῆς τῆς γλώσσης ἀπαράδεκτος φαίνεταί μοι· ἀλλ' οὐ τοῦ παρόντος ἐξετάσαι τὰ ὅρια πολλῷ μᾶλλον περιωρισμένα δοκοῦντά μοι νῦν ἢ πρότερον, ἐν οἷς ἡ ῥινοφθόγγισις ὀρθῶς ἔχειν δύναται, π. χ. ἐν τῷ σανσκρ. lumpâmi ῥιζ. lup, λατ. rumpo ῥιζ. rup· νῦν ἀρκεῖ ἡμῖν ἀποδεῖξαι ὡς πιθανόν, ὅτι πολλά τινα ῥηματικὰ καὶ ὀνοματικὰ θέματά εἰσι τὰ αὐτά.

Τοιαῦτα ὀνοματικὰ θέματα εἰς ἄμεσον ἐρχόμενα ῥηματικῶν θεμάτων χρῆσιν μίαν τοὐλάχιστον μεταβολὴν φθογγικὴν ὤφειλον ὑποστῆναι, δηλ. ἐκείνην, καθ' ἣν τὸ τελικὸν τοῦ θέμα-

τος φωνῆεν ἔν τισι μὲν τύποις ἐκτείνεται, ἐν ἄλλαις δὲ βραχύμένει· ὡς dâ-mi πληθ. da-tha(s), da-dâd-mi da-da-tha(s), οὕτως ἐλέγετο καὶ tudâ-mi tuda-thas, arnau-mi arnu-mas. Ἀλλ' ἐπὶ τούτων τῶν δισυλλάβων ῥηματικῶν θεμάτων ἡ ἔκτασις ἐν ἐλάσσονι τύπων κύκλῳ περιορίζεται. Διὸ λέγεται tuda-si ἀπέναντι τοῦ da-dâ-si. Ἡ τροποποίησις τοῦ θέματος ἐν τῇ συναφείᾳ μετὰ τῶν προσωπικῶν καταλήξεων, καίπερ περιωρισμένη, φαίνεται πάντως τοῖς ἀρχαιοτέροις τῶν ῥηματικῶν σχηματισμῶν ἀνήκουσα· ὡς δὲ πρὸς τὸ σημαινόμενον, τὸ πιθανώτατόν ἐστιν, ὡς εἴδομεν, θεωρῆσαι τὸ εἰς ῥηματικὸν μετατραπὲν ὀνοματικὸν θέμα ὡς ὄνομα τὸν ποιοῦντα δηλοῦντα, ἔνθα καὶ μικραί τινες διαφοραὶ οὐκ ἔλειπον· διότι οὐκ ἐστιν ἐκ τῶν ἀδυνάτων καὶ ἄλλους κατὰ μικρὸν συνδυασμοὺς συστῆναι, τὸ δὲ ῥῆμα ἔσθ' ὅτε καὶ τὴν ἐνασχόλησιν περὶ τὴν πρᾶξιν τὴν ἐν τῷ ὀνόματι καὶ τὰ παρόμοια ἐκφράζειν.

Ἂν οὖν ἐπὶ τῶν ἀνωτέρω συζητηθεισῶν ὑποθέσεων στηριζόμενοι ἐπιθεωρήσωμεν τὴν κατάστασιν τῆς γλώσσης ἐν ῥηματικοῖς τύποις τῆς αὐτῆς οὐσιωδῶς λειτουργίας, οὐκ εὐκαταφρόνητον αὐτῶν παρίσταται ἡμῖν πλῆθος· διότι κατὰ τὴν προτέραν ἤδη περίοδον ἡ γλῶσσα τὴν διαφορὰν τοῦ δεδιπλασιασμένου καὶ ἁπλοῦ μετεχειρίσατο θέματος, ὅπως τὴν ἐπισημοτέραν ἀπὸ τῆς ἁπλῆς πράξεως διακρίνῃ. Πρὸς τούτῳ ἔτι ἄλλα τέσσαρα τοὐλάχιστον μέσα πληρεστέρου σχηματισμοῦ προσετέθησαν, δηλ. ἡ χρῆσις θέματος εἰς a λήγοντος μετ' ἐπιρρώσεως τοῦ ῥιζικοῦ φωνήεντος ἢ ἄνευ αὐτῆς, ἡ χρῆσις θέματος εἰς nu καὶ ἑτέρου εἰς na· ἐὰν πάντας τούτους τοὺς τύπους παραδεχθῶμεν ἐν μιᾷ καὶ τῇ αὐτῇ ῥίζῃ συστάντας (1), ἐν τῇ ῥίζῃ π.χ. lip, τὸ τρίτον τοῦ ἑνικοῦ προσώπου τοὺς ἑξῆς ἕξει τύπους.

lip-ti li-lip-ti
lipa-ti laipa-ti
lipn-au-ti
lip-nâ-ti

(1) Πράγματι τοῦτο οὐχ ὑπάρχει. Ἐν τῇ σανσκρ. ἡ ῥίζα lip ἔχει μόνον τὸν τοῦ ἐνεστῶτος τύπον limpati· ἀλλ' ἐν ἄλλοις ῥήμασι πολλάκις δύο καὶ τρεῖς μάλιστα τοῦ ἐνεστῶτος εὑρηνται σχηματισμοὶ ἐκ παραλλήλου· π. χ. ῥιζ. ar(r) τριτ. προσ. τοῦ ἐν. τῆς ὁριστικῆς ij-ar-ti (δεδιπλασιασμένον), r-nô-ti (=ar-nau-ti), r-nâ-ti (=ar-nâ-ti)· ῥιζ. bhar, bhar-ti, bi-bhar-ti, bhar-a-ti. Κατὰ ταῦτα ἔξεστιν ἡμῖν σαφηνείας χάριν τοὺς ἀνωτέρω πέντε τύπους ἐκ μιᾶς παραθέσθαι ῥίζης.

Ὡς πρὸς τὸν πρῶτον οἱ πέντε ἄλλοι ἐπερρωμένοι εἰσίν. Ἐκ τούτου εἰκὸς ἦν κατ' ἀνάγκην γλωσσικῆς αἰσθήσεως διαφορὰν τοῦ ἁπλοῦ καὶ ἐπερρωμένου θέματος προελθεῖν. Ὅ τι ἐν τῇ ἀρχῇ μᾶλλον ἐκ τῆς πρὸς ἔξαρσιν ροπῆς, ἥτις ἐν ἑκάστῃ περιπτώσει ἰδία τις ἦν, διετυπώθη, ἔμαθον ἤδη ὑπὸ γενικήν τινα καθυποβάλλειν ἑνότητα. Καὶ πρὸς μὲν ἔνδειξιν τῆς μεμονωμένης πράξεως, ἥτις ὥς τι σημεῖον τῆς ἐκτάσεως στερεῖται, καταλληλότατος ὁ βραχύτατος ἦν τύπος, οἱ δὲ λοιποὶ πάντες κατ' ἀντίθεσιν πρὸς αὐτὸν συνέδραμον εἰς τὴν λειτουργίαν τὴν πρᾶξιν ἐν τῇ ἐκτάσει αὐτῆς, τὴν διαρκοῦσαν πρᾶξιν ἐκφράζειν. Ἐντεῦθεν προῆλθε τὸ δυαδικὸν τοῦτο τοῦ θέματος, ἡ διαφορὰ αὕτη ἔνθεν μὲν τοῦ ἁπλοῦ ῥηματικοῦ θέματος, ἔνθεν δὲ τοῦ θέματος τοῦ ἐνεστῶτος, ἐφ' ἧς σύμπασα τοῦ ἰνδοευρωπαϊκοῦ ῥήματος ἡ κατασκευὴ στηρίζεται. Οὐκ ἔστι δὲ τῆς ἡμετέρας προθέσεως τὴν περαιτέρω διακλάδωσιν καὶ διατύπωσιν τῶν σχηματισμῶν ἑκάστων ποικίλην ἐν τοῖς δεδιπλασιασμένοις μάλιστα οὖσαν ἐξερευνῆσαι. Ἐπὶ τῆς σχέσεως ταύτης τῶν χρονικῶν θεμάτων ἡ ἐπιστήμη ἤδη φῶς τι ἐπέχεεν· ἀλλ' ἐκ τοῦ αὐτοῦ ἐδάφους κατ' ἐμὴν γνώμην καὶ ἡ πρώτη τῆς ἐγκλίσεως ἀνεβλάστησε διάκρισις, καὶ ἐπειδὴ ἡ θεωρία αὕτη νέα ἐστί, κατ' ἀνάγκην ἀκριβέστερον εἰς αὐτὴν ἐγκύψαι ὀφείλομεν.

Καὶ πρῶτον περὶ τῆς ὑποτακτικῆς. Τὴν ἑρμηνείαν, ἣν ἄλλοτε Οὐιλ. Οὐμβόλδω ἑπόμενος παρεδέχθην, ὅτι δὴ τὸ μακρὸν τῆς ὑποτακτικῆς φωνῆεν σύμβολον εἴη διισταζούσης ἀποφάνσεως, τοὐντεῦθεν ἀποφάνσεως εἰς περιορισμὸν ὑποκειμένης, ἀπαράδεκτον νῦν ἀναγνωρίζω· διότι πρῶτον μὲν οὐδαμῶς ἀναγκαῖόν ἐστι τὴν ὑρ' ὅρους ἐπιφυλάξεως ἀπόφανσιν ἐν τῇ κορυφῇ τῶν τῆς ὑποτακτικῆς χρήσεων τάξαι. Πρὸς ἔκφρασιν διισταγμοῦ ἡ ὑποτακτικὴ μόνον ἐν τοῖς ἐξηρτημένοις λόγοις ἐν χρήσει ἐστίν. Ἀλλ' ἀναντιῤῥήτως ἡ χρῆσις τῶν ἐγκλίσεων τὸ κατ' ἀρχὰς ἐν τοῖς ἀνεξαρτήτοις ἀνεπτύχθη λόγοις, οἵγ' ἐπὶ πολὺ μόνοι δυνατοὶ ἦσαν. Χρονολογικὸν οὖν ἂν ἦν ἁμάρτημα, εἰ μὴ ἀπὸ τῶν ἀνεξαρτήτων ἀλλ' ἀπὸ τῶν ἐξηρτημένων τὴν ἀφετηρίαν ἐλαμβάνομεν. Ἡ ὑποτακτικὴ κατὰ τὴν ἀναμφισβήτητον τῆς ἑλληνικῆς γλώσσης μαρτυρίαν ἐν τοῖς ἀνεξαρτήτοις λόγοις οὐσιωδῶς παρακέλευσίν τινα ἐκφράζει, ἄγωμεν, πρὸς διάκρισιν ἀπὸ τοῦ ἄγομεν, φέρωμεν ἀπὸ τοῦ φέρομεν. Ἀλλὰ πῶς παρακέλευσίς τις ἐκ διισταζούσης δύναιτ' ἂν ἀποφάνσεως προκύψαι, οὐδεὶς ὁρᾷ· ἔπειτα ἡ πᾶσα ἐκείνη διασάφησις,

καὶ τυπικῶς ἐξεταζομένη, τῇ ὑποτακτικῇ μόνον ἁρμόζει τῆς ἐχούσης βοηθητικὸν ἢ ὡς νῦν λέγομεν θεματικὸν φωνῆεν συζυγίας. Ὅτι ἐν τῷ τύπῳ ἄγωμεν ἡ τάσις τῆς γλώσσης καὶ εἰς τοῦτο κατῆλθε, τὴν ἀπόφανσιν εἰς δισταγμὸν μεταποιῆσαι, αὐτοκατάληπτόν ἐστιν· ἀλλ' ἵνα ἡ γλῶσσα δισταγμὸν ἐκφράσῃ, ὅπερ ἄλλως, ὡς εἴδομεν, τῇ χρήσει ἀλλότριόν ἐστιν, ἐμπόδια ἑαυτῇ παρεμβάλλειν ὑπὸ τὸ σχῆμα τοῦ φθόγγου a, ὃ ἔδει ἂν γενέσθαι, εἰ τὸ ἴ-ο-μεν κατ' αὐτὸν τὸν τρόπον ἐκ τοῦ ἴ-μεν προέκυψε, τοῦτο οὐκ ἔστι παραδεκτὴ ὑπόθεσις.

Τοὐναντίον κατὰ τὴν Στεϊνθάλειον ὑπόθεσιν εὐάρεστος, ὡς νομίζω, τοῦ προβλήματος δίδοται λύσις· διότι ἡ διαρκοῦσα καὶ ἡ ἐκ παρακελεύσεως προκαλουμένη πρᾶξις ἔχουσι πολλὰ τὰ κοινά, καὶ πρὸ πάντων, ὅτι τῇ ταχείᾳ ἐκτελέσει ἀντίθετοί εἰσιν. Οὐδεμία ἄλλη χρῆσις τῶν διάρκειαν δηλούντων τύπων γνωστοτέρα ἐστὶν ἢ ἡ ἐπιβολὴν καὶ ἐπιχείρησιν σημαίνουσα· προτίθεται ἵνα φέρῃ καὶ ὀφείλει φέρειν, συνώνυμοί εἰσιν ἔννοιαι. Ἐκτὸς δὲ τούτων ὡς ἡ διαρκοῦσα, οὕτω δὴ καὶ ἡ ἐκ παρακελεύσεως πρᾶξις δύναται ἐκ τῆς συνάψεως ὀνόματος τὸν ποιοῦντα δηλοῦντος μετὰ τῶν προσωπικῶν καταλήξεων προελθεῖν· τὸ bhara-ti φέρων (ἐστὶν) ὃς ἐν ἀντιθέσει πρὸς τὸ bhar-ti φέρειν ὅς, δύναται διά τινος εὐρυτέρας χρήσεως πάνυ καλῶς σημαίνειν καλεῖται ὅπως φέρῃ, ὀφείλει φέρειν, ὡς καί, ἀσχολεῖται περὶ τὸ φέρειν, προτίθεται φέρειν, ζητεῖ φέρειν. Ἡ ὑποτακτικὴ ἐν ταῖς πλείοσι τῶν πρώτων αὐτῆς χρήσεων, ὡς ἡ τῶν Βαιδῶν καὶ ἡ τῶν ὁμηρικῶν ποιημάτων μαρτυρεῖ γλῶσσα, τῷ μέλλοντι συγγενής ἐστιν· οὐκ ἔσσεται οὐδὲ γένηται, οὕπω ἴδον, οὐδὲ ἴδωμαι. Ὁ δὲ μέλλων ἐν ἄλλῃ τινὶ μᾶλλον ἀνεπτυγμένῃ περιόδῳ δι' ἄλλων τε μέσων καὶ διὰ τῆς χρήσεως συνέστη ὀνόματος τὸν ποιοῦντα δηλοῦντος, σανσκρ. dâtâ δότης, τουτέστι δώσων ἐστί, daturu-s est. Καίτοι δὲ οὕτως ἡ ἀρχὴ τῆς ὑποτακτικῆς ἐκ τοῦ τύπου τοῦ ἐνεστῶτος τοῦ διάρκειαν δηλοῦντος ὡς πρὸς τὴν ἔννοιαν εὐοδοῦται, ὡς πρὸς τὸν τύπον φαίνονται τὸ κατ' ἀρχὰς πολλαὶ δυσκολίαι λειπόμεναι, ἃς ὅμως οὐκ ἀδύνατον, ὡς νομίζω, ὑπερνικῆσαι.

Πρώτη μὲν ἔνστασις εἴη ἂν ἡ ἑξῆς· εἴπερ οἱ διαρκείας δηλωτικοὶ τύποι ἕτερον ἅμ' ἐν ἑαυτοῖς καὶ τὴν ὑποτακτικὴν ταύτην δύναμιν, παράδοξον ἂν ἦν τὸν αὐτὸν τύπον ἐν τούτῳ μὲν τῶν ῥημάτων ἁπλῶς τὴν διάρκειαν δηλοῦν, ἐν τούτῳ δὲ τὴν ὑποτακτικὴν ἔχειν ἔννοιαν. Διὰ τί τὸ μὲν σανσκρ. vaha-ti = λατ. vehit ὁριστικῆς, τὸ δὲ ὁμοιόμορφον hana-ti (τύπτῃ) ὑποτακτικῆς ἐστιν ἐγκλίσεως; Πρὸς ταῦτα ἔχει τις ἀπαντῆσαι, δι' ὃν λόγον τὸ μὲν νέμετε ἐνεστὼς τῆς προστακτικῆς, τὸ δὲ τέμε-τε ἀόριστός ἐστι· δι' ὃν τὸ μὲν δίδο-ται ἐνεστώς, τὸ δὲ δέδο-ται παρακείμενος. Ἡ σημασία ἑκάστου τύπου οὐδέποτ' ἀποκλειστικῶς ἐκ τῶν στοιχείων, εἰς ἃ δυνάμεθ' αὐτὸν ἀναλύσαι, ἑρμηνευτέα, ἀλλ' ὡς δεύτερος παράγων πανταχοῦ ἡ ἀναλογία, ἣ ἐν ἄλλαις λέξεσιν ἡ θέσις λογιστέα ἐστίν, ἣν ἕκαστος τύπος ἐν παραθέσει πρὸς ἄλλους λαμβάνει. Κατὰ ταύτην μόνην τὴν ἔννοιαν δυνάμεθα εἰπεῖν, ὅτι τύποι τινὲς ἐπιτήδειοι πρὸς ἔκφρασιν σημασιῶν τινῶν εἰσιν· ὅπου ὁ βραχύτατος ὁ πάσης ἀμοιρῶν ἐπιρρώσεως τύπος πρὸς ἔνδειξιν τοῦ ἐνεστῶτος τῆς ὁριστικῆς ἔμεινεν, κατ' ἀντίθεσιν πρὸς αὐτὸν ἤρξατο κατὰ μικρὸν ὁ θεματικὸς ἐγκλιτικὴν (Modale) λαμβάνειν ἔννοιαν, διότι οὐδεμία ὑπῆρχεν ἀφορμὴ πρὸς ἔνδειξιν χρονικῆς σημασίας· οὕτω δὴ τὸ hana-ti ὑποτακτικὴ ἐγένετο τοῦ han-ti· ἐνταῦθ' ἐπαγιώθη ἡ διαφορά, ἥτις ἡ πηγὴ κατέστη τῆς τῶν ἐγκλίσεων χρήσεως· τοὐναντίον δ' ἐν ἄλλοις ῥήμασι ὁ βραχύτερος τύπος ἀπώλετο οὐχὶ κατὰ τυχαίαν σύμπτωσιν, ἀλλ' ἢ διότι ἡ τῆς ῥίζης σημασία ἰσχυροτέρους ἀπῄτει τύπους, ἢ διότι ἡ συμπλοκὴ τῶν φθόγγων λίαν βαρεῖα ἦν· οὕτως ὁ πληρέστερος τύπος ὡς ἐνεστὼς τῆς ὁριστικῆς ἐστερεώθη.

Δευτέρα δὲ ἔνστασις τοιάδε τις ἂν εἴη. Εἴπερ ἡ κατηγορία τῆς διαρκείας τὴν τῆς προκαλουμένης πράξεως περιλαμβάνει, εἰκὸς ἂν εἴη συμπάσας τὰς τοῦ ἐνεστῶτος ἐπιρρώσεις, εὐκαιρίας δοθείσης, πρὸς ἔνδειξιν τῆς ὑποτακτικῆς λαμβάνεσθαι. Τίνος οὖν ἕνεκα τὸ μὲν lipa-ti ὑποτακτικὴ τοῦ lip-ti ἐστίν, τὸ δὲ li-li-pti, lipna-ti οὐχί; Πρὸς εὕρεσιν ἀπαντήσεως ὀφείλομεν ἀναμνήσασθαι, ὅτι αἱ διάφοροι τοῦ ἐνεστῶτος διαπλατύνσεις πρὸς τὸν αὐτὸν μὲν ἀναμφιβόλως συμβάλλουσι σκοπόν, τὴν διαρκοῦσαν πρᾶξιν πρὸς διάκρισιν ἀπὸ τῆς ἀκαριαίας σημαίνειν, ἀλλ' ὅμως οὐδαμῶς ἦσαν πάντη ταὐτόσημοι. Κατ' αὐτὸν μόνον τὸν τρόπον καταληπτὸν καθίσταται, ὅτι ἐκ μιᾶς ῥίζης πλείονα ἐνεστῶτος θέματα ἐκ παραλλήλου εἰς χρῆσιν ἐλθεῖν ἠδύναντο. Ἐπειδὴ ἕκαστος τῶν διαφόρων ἐν τῷ ἐνεστῶτι σχηματισμῶν τῆς διαρκούσης πράξεως ἰδίαν εἴληφεν ἀπόχρωσιν, εἴς τις τούτων ἠδύνατο ἐγγυτέρω εἶναι τῆς ἐγκλιτικῆς χρήσεως ἢ οἱ ἄλλοι· πιθανῶς δὲ ὁ δεδιπλασιασμένος σχηματισμὸς ἦν ἧττον ἁρμόδιος, διότι

ἐξ ἀρχῆς αὐτῷ ἐπισυνημμένη ἦν ἡ ἔννοια ἐντονωτέρας ἐνεργείας, ἡ δ' ἔντονος χρῆσις ἐν τῷ περιβόλῳ τῆς διαρκούσης πράξεως τὸν ἀντίθετον τρόπον τινὰ σχηματίζει πόλον τῇ τῆς ἐπιβολῆς, ἐξ ἧς καὶ μόνης ἐνομίσαμεν δύνασθαι τὴν τῆς ὑποτακτικῆς χρῆσιν διασαφῆσαι. Οὕτω δὴ καταληπτὸν ἂν ἐγένετο, διατὶ τὸ li-lip-ti οὐδέποτ' ἀπέβη ὑποτακτική. Οἱ δὲ μετὰ τῆς συλλαβῆς -na καὶ -nu σχηματισμοὶ τοῦ ἐνεστῶτος ἴσως νεωτέρας εἰσὶν ἀρχῆς. Ἀφοῦ ἀπὸ τῶν μετὰ τοῦ a μόνων τύπων ἡ ὑποτακτικὴ ἀνεπτύχθη, ἐγένετο ἤδη ἡ περὶ αὐτῆς, οὕτως εἰπεῖν, προμήθεια· οἱ δὲ νεώτεροι σχηματισμοὶ τὴν διαρκοῦσαν πρᾶξιν ἐχαρακτήριζον αὖθις κατ' ἄλλην πως ἔννοιαν, οὐδόλως τοῖς πρώτοις κατὰ πάσας τὰς τροποποιήσεις ἀκολουθοῦντες· ἄλλως δὲ καὶ ὁρῶμεν, ὅτι τῆς γλώσσης ἡ χρῆσις ἐκ σειρᾶς οὐσιωδῶς ὁμοειδῶν σχηματισμῶν ἐξαιρεῖ, ἵν' οὕτως εἴπω, ἕνα καὶ τοῦτον πρός ἰδιάζουσάν τινα λειτουργίαν ἀναπτύσσει. Ἀλλὰ περὶ τούτων καὶ αὖθις ἐπανακάμψομεν, ὅτε ἰδίᾳ περὶ τῆς ἀρχῆς τῶν πτώσεων γενήσεται λόγος.

Τρίτη δὲ ἔνστασις διεγείρει τῷ τὸ πρῶτον περὶ τούτων λογιζομένῳ πλείονας δισταγμούς. Πῶς ἑρμηνεύονται τύποι μακρὸν ἔχοντες φωνῆεν; Κατὰ τὴν προταχθεῖσαν δόξαν ποία τις ἡ σχέσις τοῦ bharâ-ti = φέρη-σι πρὸς τὸ bhara-ti φέρε-τι, φέρει; Νομίζομεν, ὅτι τὸν φθόγγον a κατὰ τὴν ἀρχὴν αὐτοῦ οὐχ ὡς βοηθητικὸν φωνῆεν θεωρῆσαι δυνάμεθα· ἀλλὰ τοῦτο οὐδόλως ἀποκλείει τὴν γνώμην, ὅτι ἡ ὑπερβάλλουσα χρῆσις τοῦ φωνήεντος τούτου, ὃ πλῆρες τὸ κατ' ἀρχὰς ἐννοίας ἦν, τὸν λόγον αὐτῆς ἐν τῇ φθογγικῇ εὐχερείᾳ ἔσχεν· αὕτη ἔμελλε μάλιστα πρὸ τῶν καταλήξεων τοῦ παρωχημένου λίαν ἐπαισθητὴν τὴν ἑαυτῆς ἰσχὺν καταστήσειν, ἔνθα τύποι οἷος ὁ a-lip-m, a-lip-s, a-lip-t, δυσεκφώνητοι ἦσαν. Ἀλλὰ καὶ ἐν τῷ ἐνεστῶτι τὸ δυσεκφώνητον τῆς συμπλοκῆς συμφώνων τινῶν συνετέλεσε βεβαίως, ὅτε δύο ὑπῆρχον τύποι, οἷον lipa-ti καὶ lip-ti, tuda-ti καὶ tud-ti, ἵνα τοῦ πρωτογενοῦς παραγκωνισθέντος ὁ δευτερογενὴς προσφιλέστερος γένηται. Αἱ ἀρχαῖαι ἐκεῖναι ὑποτακτικαὶ hana-ti, ἴομεν, κατ' ἀντίθεσιν πρὸς τὰ han-ti, ἶ-μεν, διήγειραν τὴν τάσιν πρὸς νέους σχηματισμούς. Κἀνταῦθα ἡ γλῶσσα οὐκ ἠδύνατο ἐπιλαθέσθαι, ὅ τι ἅπαξ μεμάθηκεν, οὐδ' ἀπαλλαγῆναι χρείας τινός, ἐν αὐτῇ ἅπαξ διεγερθείσης. Ἡ φύσις τῆς ὑποτακτικῆς ἐφάνη ἐν τῇ ἐπενθέσει φωνήεντος μεταξὺ τοῦ στελέχους καὶ τῆς καταλήξεως συνισταμένη. Κατ' αὐστηρὰν ἀναλογίαν τοῦ hana-ti πρὸς τὸ han-ti ἐσχηματίσθη bharâ-ti πρὸς τὸ bhara-ti· ἀλλὰ τούτῳ τῷ τρόπῳ ὁ σχηματισμὸς τῶν ἐγκλίσεων ὅλως ἀπὸ τοῦ τῶν χρόνων ἀπεχωρίσθη· διότι ὁ μὲν ἀναδιπλασιασμός, ἡ ἐσωτερικὴ ἐπίρρωσις, καὶ ἡ προσθήκη ἐνρίνων (1) συλλαβῶν πρὸς ἔνδειξιν τῶν χρόνων ἔμειναν, ἡ δὲ ἔκτασις πρὸς τὴν τῆς ὑποτακτικῆς. Πόσον δὲ καὶ κατά τινα μεταγενεστέραν τῆς γλώσσης περίοδον ἡ τῆς προκλήσεως ἔγκλισις τὴν εἴτε τοῦ θέματος εἴτε τῶν προσωπικῶν καταλήξεων ἔκτασιν ἀσπάζεται, ἔνθεν μὲν ἡ ἑλληνικὴ γλῶσσα διὰ τῶν τύπων δώ-ο-μεν, στή-ο-μεν δώ-σι μαρτυρεῖ, ἔνθεν δὲ ἡ σανσκρίτη διὰ τῆς ἐπεκτάσεως τῆς διρθόγγου ἐν ταῖς τοῦ μέσου προσωπικαῖς καταλήξεσι, π. χ. jag'â-tâï (2) πρὸς τῷ jag'â-tê (= tai).

Ἐπειδὴ μέρος τῶν βαρυτέρων τύπων, εἰς ἔνδειξιν τὸ κατ' ἀρχὰς τῆς διαρκούσης πράξεως πλασθέντων, πρός ἰδιόν τινα σκοπὸν ἀπεχωρίσθη, κατ' ἀνάγκην ἐν τοῖς ὑπολοίποις πολυειδῶς ἄλλη σχέσις ἀνεπτύχθη. Ἕκαστος τῆς ὁριστικῆς τύπος τὴν ἑαυτοῦ ἀπήτει ὑποτακτικήν.

lip-ti lipa-ti, lipa-ti lipâ-ti,
lilipti lilipa-ti, laipa-ti laipâ-ti κτλ.

Κατ' αὐτὸν τὸν τρόπον νέον εἶδος σχηματισμοῦ τοῦ ἐνεστῶτος παρήχθη. Καὶ τὸ μὲν κατ' ἀρχάς, ὡς ἔοικε, πρὸς διάκρισιν χρονικὴν οὐδεμίαν χρῆσις τῆς διαφορᾶς τοῦ lipa-ti καὶ laipa-ti ἐγένετο. Τύπος, οἷος ὁ tuda-ti ἐστὶν ἐνεστῶτος, ὡς ὁ bôdha-ti = bauda-ti, καὶ ἑλλ. ἄγει ὡς τήκει (ῥιζ. τᾰκ)· Lipa-ti καὶ laipa-ti ἄρα τὸ κατ' ἀρχὰς ὁμοταγῆ ἦσαν· ἡ γλῶσσα τὸν μὲν ἢ τὸν δὲ τῶν τύπων ἠδύνατο προτιμῆσαι, ἴσως καθ' ὅσον ἡ πρᾶξις ἐνεργητικώτερον ἢ ἔλασσον ἐντόνως ἔμελλεν ἐκφρασθῆναι. Ἀλλ' ἐπειδὴ παρὰ τῷ li-pati ἡ ὑποτακτικὴ lipâ-ti, παρὰ τῷ laipa-ti laipâ-ti εἰσήχθη, καὶ διὰ τῶν τελευταίων τύπων ἡ ἔννοια τῆς προκαλουμένης πράξεως ἀνεπτύχθη, ἔμελλεν ἡ πρὸς δια-

(1) Ἡ νεωτέρα ἑλληνικὴ τὴν μὲν ἀναδίπλωσιν μεταχειρίζεται ἔστιν ὅτε ἐν τοῖς ὀνόμασι πρὸς ἐπίτασιν τῆς ἐννοίας, οἷον χειρχειρότερον = χείριστον, τὸ δ' ἔνρινον ν πρὸς μόρφωσιν νέων τύπων τοῦ ἐνεστῶτος καὶ παρατατικοῦ, οἷον φέρνω, παίρνω, γδαίρνω, κλτ., καὶ πρὸς διάκρισιν αὐτῶν ἀπὸ τοῦ ἀορίστου, οἷον φέρνω ἐνεστώς, φέρω ἀόριστος τῆς ὑποτακτικῆς, ἔφερνα παρατατικός, ἔφερα ἀόριστος κατὰ τὸ ἀρχαῖον ἔπινον, ἔπιον. Σημ. Η. Β.

(2) Ἄφθονα παραδείγματα ὁ Kuhn ἀναφέρει (Zeitschr. XV, 412—), ἔνθα ὅμως ἡ ὑπόθεσις ἐκτίθεται, ὅτι ἡ βαρυτέρα δίφθογγος ἐν πάσαις ταῖς τοῦ μέσου καταλήξεσιν ἡ ἀρχέγονος εἴη.

φορότητα τάσις προφανεστέρα γενέσθαι· ὅσῳ δὲ πλέον τὰ εἰς a θέματα ηὔξανον, τοσούτῳ πλείονος ἀξίας ἡ ἀνάπτυξις ἐν αὐτοῖς συστήματος τύπων τελειοτέρου ὑπέρ τε τῆς διαρκούσης καὶ τῆς ἀκαριαίας πράξεως καθίστατο· οἱ μὲν ἀμετάβλητον ἔχοντες τὸ ῥιζικὸν φωνῆεν τύποι lipa-ti lipâ-ti, ἀντιτεταγμένοι πρὸς τοὺς laipa-ti laipâ-ti, τὴν τῆς ἀκαριαίας πράξεως παρειλήφασιν ἔννοιαν, οἱ δ' ἐπερρωμένοι τὸ ῥιζικὸν φωνῆεν τὴν τῆς διαρκούσης· ἀλλ' ὁ τελευταῖος τύπος σχετικῶς βαρύτερος ἦν, ἡ δὲ πρώτη σημασία τοῦ βραχέος a τοῦ lipa-ti, ἔνθα οὐδὲν lipti ὑπῆρχεν, ἔμελλεν ὅλως ἐκλείψειν. Κἀνταῦθα εἰς τὴν παρατήρησιν ἐπανερχόμεθα αὖθις, ὅτι ἡ ἔννοια τύπου τινὸς οὐσιωδῶς ὑπὸ τῆς σχέσεως αὐτοῦ πρὸς ἄλλους ὁρίζεται. Ἐν τῷ ἐνεστῶτι ἄρα τῆς ὁριστικῆς ὁ βραχύτερος τύπος lipa-ti ἔμελλεν, ὅπου παρὰ τῷ laipa-ti ἔκειτο, ταχέως περιττὸς ἔσεσθαι· διότι ἐν τῇ ἁπλῇ ἀποφάνσει περὶ ἐνεστῶτός τινος πράγματος ἡ ἔκφρασις τῆς ἀκαριαίας ἐνεργείας οὐδεμίαν ἔχει χώραν· ὅταν τις ἁπλῶς ἐνεστώς τι ἐκφράζῃ, ἡ πρᾶξις ἐξ ἑαυτῆς εὐρύτητά τινα καταλαμβάνει. Τούτου ἕνεκα τὸ lipa-ti, ὅπου παρ' αὐτῷ laipa-ti ἔκειτο, κατὰ μικρὸν ἐκ τῆς χρήσεως ἐξέπεσεν. Ἀλλ' ἐν τῇ ὑποτακτικῇ δυνατὸν ἦν τὸ lipâ-ti καὶ laipâ-ti πλησίον ἀλλήλων κάλλιστα διατηρηθῆναι· διότι ἡ κατὰ πρόκλησιν πρᾶξις δύναται ἀκαριαία ἢ διαρκοῦσα εἶναι, καὶ ὅπως ἂν αὐτῆς ἀντιληφθῶσι, γίγνεται καὶ ἡ διαφορά. Καὶ ἐν τῇ προστακτικῇ δὲ περὶ τοὺς αὐτοὺς διαμορφωθείσῃ χρόνους ἡ αὐτὴ συνέστη σχέσις, lipa-tât παρὰ τῷ laipa-tât. Ἔτι σπουδαιοτέρα ἡ διάκρισις αὕτη κατέστη ἐν τῷ παρῳχημένῳ a-lip-at παρὰ τῷ a-laip-at· οὕτω διαλευκαίνεται, ὅτι πλησίον τοῦ ἐκ τῆς ῥίζης ἀορίστου a-bhû-t=ἔ-φυ, a-stâ-t (σανσ. a-stha-t)=ἔ-στη, καὶ θεματικοὶ ὑπάρχουσιν ὁμοειδεῖς τοῖς περὶ ὧν ἀνωτέρω ἐγένετο λόγος. Τύποι, οἷοι οἱ σανσκρ. a-lipa-t a-sada-t (ἐκάθισεν), a-vida-t (ἑλλ. ἐ-Fιδε, εἶδε) ὡς ἐκ τῆς ἀρχεγόνου αὐτῶν καταγωγῆς κυρίως παρατατικοί εἰσιν, οἱ δὲ πρὸς αὐτοὺς συγγενεύοντες τῶν ἐγκλίσεων τύποι ἐνεστῶτες, εἰς ἀορίστους ὅμως μετατραπέντες, τὸ μὲν διότι ἰσχυρότεροι ἐνεστῶτος τύποι ἐσχηματίσθησαν, τὸ δὲ διότι τοιοῦτοι ἀπωλέσθησαν ὁριστικῆς τύποι, οἷοι οἱ lipâ-mi, sadâ-mi, vidâ-mi. Ἡ ἑλληνικὴ γλῶσσα ἐν τῇ ὑποτακτικῇ τὴν πρωτόγονον σχέσιν πολλῷ τῆς σανσκρίτης καὶ ζενδικῆς καθαρωτέραν διετήρησε παντοῦ τὰς πρωτοθέτους αὐτῇ μεταδοῦσα προσωπικὰς καταλήξεις· ἡ δὲ σανσκρίτη καὶ ζενδικὴ ἀμφιρρέπουσιν, ὥστε παρέχουσιν ὑπονοεῖν, ὅτι πράγματι παρατατικοῦ καὶ ἀορίστου ἦν ὑποτακτική. Τὸ ἀληθὲς εἰπεῖν, μία μόνη ἔγκλισις ὑπάρχει τῆς διαρκούσης πράξεως, ἣν ἔγκλισιν τοῦ ἐνεστῶτος ὀνομάζομεν, καὶ ἑτέρα τῆς ἀκαριαίας πράξεως, ἣν ἔγκλισιν τοῦ ἀορίστου καλοῦμεν. Περὶ ἀποβολῆς τῆς αὐξήσεως ἐν τοιαύτῃ ἐγκλίσει οὐδεὶς λόγος γενέσθαι δύναται, διότι ἡ αὔξησις ὡς σημεῖον τοῦ παρῳχημένου ἀσυμβίβαστός ἐστι τῷ τῶν ἐγκλίσεων σχηματισμῷ.

Ἀνελάβομεν ἐρευνῆσαι, εἰ δυνατὸν εἴη τὸ τῆς ὑποτακτικῆς φωνῆεν, ὡς ἔστι φθογγικῶς ταὐτὸν τῷ θεματικῷ φωνήεντι, οὕτω καὶ κατὰ τὴν ἔννοιαν ταὐτὸν θεωρεῖν. Νομίζω ὅτι τὸ δυνατὸν τοῦτο ἀπέδειξα, καὶ ἐπειδὴ τῆς γλωσσολογικῆς ἐπιστήμης κορυφαῖον ἀξίωμά ἐστιν, ὅ τι φθογγικῶς ἐν τῇ γλώσσῃ ὅμοιόν ἐστι καὶ κατὰ τὴν ἔννοιαν παρόμοιον εἶναι δύναται, ταὐτὸν θεωρητέον, φρονῶ πάντως ὅτι τὰ δύο φωνήεντα τὴν αὐτὴν ἐξ ἀρχῆς ἔχουσι καταγωγήν. Ἐπειδὴ δὲ ἰσχυροὺς ἔσχομεν λόγους παραδέξασθαι, ὅτι ὁ φθόγγος a πρὸς σχηματισμὸν τῶν χρόνων πρότερον ἢ πρὸς τὸν τῶν ἐγκλίσεων ἐχρησίμευσεν, ἐκ τούτου ἡ οὐκ εὐκαταφρόνητος ἐξήχθη παρατήρησις, ὅτι ὁ σχηματισμὸς τῶν ἐγκλίσεων, ἐξ ὧν ἐξαιροῦμεν νῦν τὴν προστακτικήν, κατὰ μικρὸν ἐκ τοῦ τῶν χρόνων σχηματισμοῦ ἀνεπτύχθη.

Ε. ΠΕΡΙΟΔΟΣ ΤΩΝ ΣΥΝΘΕΤΩΝ ΡΗΜΑΤΙΚΩΝ ΤΥΠΩΝ.

Ἐν τῇ ἀρχῇ τῆς πραγματείας ταύτης (σελ. 196) ὑπεδείξαμεν ὅτι ὁ διπλοῦς τοῦ ἀορίστου τύπος ἐξ ἐκείνων ἐστίν, ἃ τὴν κατὰ στρώματα τοῦ ῥηματικοῦ συστήματος μόρφωσιν ἀρίδηλον καθιστᾶσιν. Πρὸ πολλοῦ ἤδη γνωστόν ἐστιν ὅτι οἱ νεώτεροι ἔνσιγμοι ἀόριστοι ἐπὶ συνθέσεως στηρίζονται (1). Ἐν τούτοις τὸ χρονολογικὸν στοιχεῖον ψηλαφητότατόν ἐστι, διότι ἡ σύνθεσις ἐκ στενῆς προέρχεται συναφῆς στελέχους σημαντικοῦ καὶ βοηθητικοῦ ῥήματος. Ἀλλ' οὐδέποτε τὰ βοηθητικὰ ῥήματα ἦν δυνατὸν ἐν τῇ ἀρχῇ τοιαύτην ἔχειν λειτουργίαν. Τὸ βοηθητικὸν ἔχει περίπου πρὸς τὸ ἀνεξάρτητον

(1) Ἡ παράδοξος τοῦ Ascoli ἀπόπειρα, ὅπως κἀνταῦθα ἐκ τοῦ diks τοῦ τύπου a-diksa-t ὄνομα τοῦ ποιοῦντος ἐξαγάγῃ, πάνυ ὀλίγους εὑρήσει ὀπαδούς. Οἱ σανσκρ. ἀόριστοι εἰς si-scha-m προφανῶς δεικνύουσιν, ὅτι ἐνταῦθα σύνθεσις ὑπάρχει.

ῥῆμα, ὡς τὸ ἄρθρον πρὸς τὴν ἀντωνυμίαν· διότι τὸ μὲν ἄρθρον ἀπομεμαραμένη, οὕτως εἰπεῖν, ἀντωνυμία ἐστί, τὸ δὲ βοηθητικὸν ἀπομεμαραμένον ῥῆμα αὐτοτελοῦς σημασίας· ἀλλ' ὅσος χρόνος παρελθεῖν ἔμελλε, πρὶν ἢ ἡ γλῶσσα εἰς τὴν τοῦ ὑπαρκτικοῦ ῥήματος ἀφιχθῇ χρῆσιν, τουτέστι πρὶν ἢ ἡ ἀρχέγονος καὶ θεμελιώδης αἰσθητὴ τῆς ῥίζης as σημασία, πιθανῶς (ἰδ. Ἐτ.ἐκδ.3,350) ἡ τοῦ πνέειν, ὅλως καταρρεύσῃ, ὅπως ἡκαθαρὰ τῆς ὑπάρξεως ἔννοια ἐκπηγάσῃ! Ἀνάγκη παραδέξασθαι ὅτι μακροχρόνιος τῆς ῥίζης ῥηματικὴ προηγήθη χρῆσις· καὶ αὖθις μακρᾶς ὁδοῦ ἐδέησεν, ὅπως ἐκ ταύτης τῆς ὅλως ἀφῃρημένης ὑπαρκτικῆς ἐννοίας τὸ εἶναι εἰς τὴν συνήθη μεταπέσῃ χρῆσιν τοῦ ἁπλοῦ συνδετικοῦ. Ἡ ἀρχαιοτέρα γλῶσσα οὐδόλως τὴν ἀνάγκην ᾐσθάνετο τὴν τοῦ ὑποκειμένου μετὰ τοῦ κατηγορουμένου σύνδεσιν ἄλλως ἢ διὰ τῆς παραθέσεως ἐκφράζειν. Τοῦτο δὴ ῥηματικοὶ δεικνύουσι τύποι, ὡς ad-mi, καὶ ἄλλοι, ὡς bhara-ti, laipa-ti. Ἀλλ' ἀφοῦ ἤδη πολυάριθμοι ὀνοματικοὶ τύποι ὑπὸ ποικίλων ἐπιθεμάτων χαρακτηριζόμενοι ἐσχηματίσθησαν, ἐν οἷς κατὰ μικρὸν ἡ διαφορὰ τοῦ οὐσιαστικοῦ ἀπὸ τοῦ ἐπιθέτου προελθεῖν ἔμελλεν, ἡ διάκρισις τοῦ προσδιοριστικοῦ ἀπὸ τοῦ κατηγορουμένου ἐν τῇ τῆς προτάσεως συστάσει ἠδύνατο ἐπιθυμητὴ γενέσθαι, καὶ ἡ μὲν παράθεσις πρὸς ἔκφρασιν τῆς προσδιοριστικῆς ἔμεινε συντάξεως, ἡ δὲ κατηγορηματικὴ διὰ τῆς τοῦ ὑπαρκτικοῦ ῥήματος προσθήκης ἐξεφράσθη, ὅπερ τούτου ἕνεκα συνδετικὸν ἀπέβη. Τοιαύτη δὲ αὖθις τῆς ῥίζης as χρῆσις πολὺν ἤδη, ὡς εἰκός, χρόνον ὑπῆρξε, πρὶν ἢ αἱ σύνθετοι ῥηματικοὶ τύποι ἐπιφανῶσι· διότι ἡ σύνθεσις πάντοτε μακροχρόνιον προϋποτίθησι συνύπαρξιν τῶν μερῶν, ἃ νῦν πρὸς χρῆσιν πάνυ συνήθη συνδεδεμένα εἰσίν. Οἵα οὖν ἄποψις ἡμῖν ἀνοίγεται ἀπὸ τῶν τύπων ἐκείνων τοῦ ἀορίστου, οἵ, ὡς ὁ a-dik-sa-t = ἔδειξε, τὰ στοιχεῖα ταῦτα ἐν ἑαυτοῖς περιλαμβάνουσι! τὸ a-dik-sa-t ἔχει περίπου πρὸς τὸν τύπον a-dâ-t, ὡς τὸ tum dicens erat πρὸς τὸ tum dicens. Εἴπερ οὖν ἐν τῇ προγενεστέρᾳ περιόδῳ ἦν δυνατὸν τὴν χρῆσιν τοῦ ὑπαρκτικοῦ καὶ ἄλλου τινός, ὡς ὀψόμεθα, ῥήματος συνηθεστέραν ἀποβῆναι, διὰ τῆς συμφύσεως ποικίλων θεμάτων μετὰ τῶν βοηθητικῶν τούτων ῥημάτων ὅλως νέον καὶ γόνιμον στοιχεῖον μορφώσεως προήχθη, δι' οὗ τὸ ῥηματικὸν σύστημα οὐσιωδῶς συνεπληρώθη. Ἀλλ' ἐνταῦθα δυνάμεθα, καὶ ἐν τούτῳ περίοδον τῆς γλώσσης μᾶλλον προωδευμένην ἀναγνωρίζομεν, μετὰ μείζονος ἀσφαλείας ἢ ἐν τοῖς προτέροις χρόνοις ἑκάστην τῶν βαθμίδων διακρίνειν καὶ χρονολογικῶν σημείων πρόσω τε καὶ ὀπίσω ἐπιλαμβάνεσθαι. Οἱ σύνθετοι τῶν ῥημάτων τύποι δύνανται εἰς δύο οὐσιωδῶς διαφόρους τάξεις διαιρεθῆναι· α) εἰς τὴν τάξιν τῶν περιλαμβανόντων ἀμόρφωτα ὀνοματικὰ στελέχη μετὰ βοηθητικῶν ῥημάτων συνδεδεμένα, ὡς τὸ ἐκ τοῦ ῥιζικοῦ ὀνόματος dik σχηματισθὲν a-dik-sa-t, καὶ β) εἰς τὴν τῶν περιεχόντων μεμορφωμένον ἤδη ὀνοματικὸν θέμα, τουτέστι καταλήξεως εὐμοιροῦν, ὡς kâma (ἔρως) μετὰ ῥηματικοῦ τύπου συνημμένον, ὡς kâma-jâ-mi. Ἐκ τῆς πρώτης τάξεως ἡ γλῶσσα ἕνιά τινα μόνον παράγει χρόνων θέματα πρὸς συμπλήρωσιν τῶν ἁπλῶν χρησιμεύοντα· ἐν δὲ τῇ δευτέρᾳ ἡ σύνδεσις στενώτερον προσφύεται καὶ διὰ παντὸς τοῦ ῥήματος διήκει. Τὸ καθ' ἑαυτὸ παρώνυμον ῥῆμα ἐκ τοῦ δευτέρου παράγεται τρόπου.

Α. σύνθετα χρόνων θέματα ἐξ ἀμορφώτων ὀνοματικῶν στελεχῶν προερχόμενα.

Ὅτι ὁ τύπος a-dik-sa-t ὀνοματικὸν περιλαμβάνει στέλεχος, τοῦτο αὐταπόδεικτόν ἐστι· διότι πρότασις ἐξ οὐσιαστικοῦ συγκειμένη ῥήματος ὀφείλει ὄνομα περιέχειν· ἀλλὰ τοῦτο οὐδὲν ἧττον ὡς πρὸς τὴν ἱστορίαν τῆς ἀναπτύξεως τῆς γλώσσης σπουδαιότατόν ἐστιν, ἀποδεικνύον ὅτι ἐν τούτῳ ἀναντιρρήτως τῷ σχετικῶς μὲν οὐπάνυ ἀρχαίῳ χρόνῳ, ἀλλ' ὅμως τῆς τῶν γλωσσῶν ἀποχωρίσεως πολλῷ ἀρχαιοτέρῳ, ὀνοματικὰ θέματα, βεβαίως ἄκλιτα, ἐν ταύτῃ τῇ ἀρχεγόνῳ μορφῇ ὑπῆρχον. Τοῦτο δὲ χρησιμεύει ἔνθεν μὲν πρὸς ἐμπέδωσιν τῶν ὑφ' ἡμῶν προειρημένων περὶ τῆς ἀρχαιότητος τοιούτων ῥιζομόρφων ὀνοματικῶν θεμάτων, ἔνθεν δὲ πρὸς πλατυτέραν ἀνασκευὴν τῶν ὑποθέσεων τῶν ὑπονοούντων, ὅτι δὴ τὰ τοιαῦτα ἀρχαιότροπα ὀνοματικὰ θέματα ἀκρωτηριασμοί εἰσι· διότι οὐδεὶς δύναται πιθανὸν καταστῆσαι, ὅτι ἐν τῷ a-dik-sa-t ἡ συλλαβὴ dik ἐκ πληρεστέρου τύπου παραμεμορφωμένη ἐστίν.

Τὴν συλλαβὴν jâ (ja), ἥτις ὁ χαρακτὴρ ἐστι τῆς τετάρτης τάξεως τῶν σανσκριτικῶν ῥημάτων καὶ τῶν ἀπείρων ὁμοιομόρφων σχηματισμῶν ἐν ταῖς συγγενέσι γλώσσαις, ἐκ τῆς ῥίζης ja (ἰέναι) παράγειν (1), ὡς ἐποίησε Bopp

(1) Ὁ Γάλλος μεταφραστὴς τῆς συγκριτικῆς τοῦ Βοππίου Γραμματικῆς, ὁ πολυμαθὴς Μιχαὴλ Βρέ-

ἐν τῇ Συγκρ.Γρ. 3, 111, γαλλ. μετ. (πρβ. Χρόνοι καὶ Ἐγκλίσεις σ. 88) οὐκ ἀπόβλητόν ἐστι διὰ τὴν ἁπλότητα τῆς ἣν παρέχει διασαφήσεως. Τὸ ῥῆμα ἰέναι ἐν ἄλλαις τε γλώσσαις καὶ μάλιστα ἐν τῇ λατινικῇ, ἐν περιφραστικῇ ὂν χρήσει (vênum ire, amatum iri) ἐν ἑαυτῷ διαρκές τι περιέχει, καὶ τούτου ἕνεκα ἐπιτηδειότατόν ἐστι πρὸς σχηματισμὸν τῶν τοῦ ἐνεστῶτος θεμάτων, διότι ἰέναι διαρκῆ τινα ἐμφαίνει κίνησιν (1). Ἐπειδὴ δὲ ἐκτὸς τούτου καὶ ἡ ἔννοια τῆς παθήσεως εὐκόλως παρεισάγεται, εἰκός ἐστιν, ἵνα καὶ ἡ ja τοῦ τῆς σανσκρίτης παθητικοῦ, ἔνθα καὶ ἡ ζενδικὴ ἀναλογίας παρέχει, εἰς τὴν αὐτὴν πηγὴν ἀναχθῇ, διότι πρὸ πολλοῦ σεσημείωται, ὅτι πολλὰ ῥήματα τῆς ἀντιστοιχούσης τετάρτης τῶν σανσκριτικῶν ῥημάτων τάξεως ἀμετάβατον ἔχουσι σημασίαν. Εἴπερ ἡ ἐξήγησις αὕτη ὀρθή ἐστι, καὶ οὐκ οἶδα ὅ,τι ἄν τις ἔχοι ἀντειπεῖν, κἀνταῦθα ὑποθέσθαι ὀφείλομεν, ὅτι ἡ γλῶσσα, πρὶν ἢ εἰς τὴν σύνθεσιν τῆς ῥίζης ja μετὰ θεμάτων προτασσομένων χωρήσῃ, πολλάκις τῇ περιφράσει διὰ τῆς ῥίζης ja ἐχρήσατο, π. χ. kup ja, svid ja. Τὴν πρώτην λέξιν ἐνταῦθα θεωρητέον φυσικώτατα ὡς ὄνομα ἐνεργείας, ζέσιν, ἐφίδρωσιν, χωρὶς ἄλλως τοῦ ἀποκλεῖσαι καὶ ἄλλας συνδέσεις, οἷον ἀγγέλλω, τουτέστι ἀγγελ(ο)-ιω, ἄγγελος ἰέναι, δηλ. ὡς ἄγγελος ἰέναι. Ὡς ἐν πάσῃ συνθέσει ἀόριστόν τι καὶ πολυσήμαντον κεῖται, οὕτω καὶ ἐν ταύτῃ· ἀλλ' ἀκριβῶς ἐπὶ τούτου ἡ ποικιλία τῆς χρήσεως στηρίζεται καὶ ἡ ἁρμοδιότης τῶν συνημμένων στοιχείων, ὅπως ἐκ τῆς ἀρχεγόνου καὶ μᾶλλον αἰσθητῆς σημασίας εἰς ἁπλᾶς μορφωτικὰς συλλαβὰς μεταπίπτωσι. Κατὰ μικρὸν οὖν ἡ διαφορὰ τῆς ἐπισυνημμένης συλλαβῆς ja ἀπ' ἄλλων εἴτε ἁπλῶς φθογγικῶν εἴτε θεματικῶν προσαμμάτων ὅλως ἀπεσβέσθη. Ἡ συλλαβὴ αὕτη ἦν ὡσαύτως μία τῶν διαπλατύνσεων ἐκείνων τοῦ ἐνεστῶτος, αἳ πᾶσαι πρὸς τὸν αὐτὸν χρησιμεύουσι κοινὸν σκοπόν, πρὸς ἔνδειξιν τῆς διαρκοῦς πράξεως.

Ὡς οἱ διάρκειαν σημαίνοντες τύποι διὰ τῆς συνθέσεως μετὰ τῆς ῥίζης ja συνεπληρώθησαν, οὕτω καὶ οἱ ἐξ αὐτῆς τῆς ῥίζης προερχόμενοι, τῇ δὲ τοῦ ἀκαριαίου χρησιμεύοντες ἐκφράσει, ὡς παρὰ πάντων ὁμολογεῖται, διὰ τῆς ῥίζης as συναπηρτίσθησαν. Καὶ παράδοξον μὲν τὸ κατ' ἀρχὰς φαίνεται, ὅτι ῥίζα ἐκ τῶν ὡς ἔοικε διάρκειαν σημαινουσῶν τοιαύτην λειτουργίαν ἀνέλαβε· διότι εἶναι, ὡς δοκεῖ, πάνυ κυρίως ἐστὶ μένειν, ἐπιμένειν ἔν τινι· ὥστε κατὰ ταῦτα εἰκὸς ἦν τὴν ῥίζαν as μᾶλλον ἐν ἐνεστῶτος τύποις ἀπεκδέχεσθαι, ὡς ἐν τῷ Λατ. possum, ἢ ἐν τοῖς τοῦ ἀορίστου. Ἀλλ' ἐπειδὴ ἀντίληψίς τίς ἐστι τοῦ εἶναι ἔχουσά τι τοῦ ἀορίστου, ἡ καθ' ἣν τὸ εἶναι πρὸς τὸ γίγνεσθαι ἀντιτάσσεται, τὸ ἐπιτευχθὲν ἀποτέλεσμα πρὸς τὰ διάφορα ἐπὶ τῇ ἐπιτεύξει αὐτοῦ ἀπαιτούμενα μέσα, ἡ δὲ ἀντίληψις αὕτη ἐν ἀναφορᾷ πρὸς τὸ παρελθὸν εὐκολώτατα εἰσαχθήσεται, ἦν δυνατὸν τὸ μὲν πρῶτον περίφρασίν τινα ἐκ τοῦ παρῳχημένου τοῦ as παραληφθῆναι, ὕστερον δὲ δι' αὐτῆς καὶ κατὰ μικρὸν καὶ τοιούτους προελθεῖν τύπους, οἷος ὁ a-dik-sa-t = ἔ-δειξα. Ἐπειδὴ δὲ ἡ διαφορὰ τῆς ἀκαριαίας καὶ τῆς διαρκούσης πράξεως ἐν τῇ γλώσσῃ ἦν ἤδη κατὰ τὴν προγενεστέραν περίοδον ἐπιφανεῖσα, οἱ ἐκ τοῦ as σύνθετοι οὗτοι τύποι φυσικώτατα εἰς τὴν τοῦ ῥήματος συζυγίαν εἰσήχθησαν ἐκ παραλλήλου πρὸς τοὺς ἁπλοῦς τοῦ ἀορίστου τύπους. Ἐνταῦθα οὐδόλως οὔτε ταῦτα προτιθέμεθα οὔτε τοὺς διαφόρους τοῦ σχηματισμοῦ τρόπους τῶν συνθέτων τούτων ἀορίστων περαιτέρω ἐξιχνιάσαι· μόνον ἐπὶ χρονολογικοῦ τινος σημείου ἡ ἀπόδειξις φανερὰ δύναται γενέσθαι. Εἷς ἐκ τῶν τοιουτοτρόπων σχηματισμῶν τοῦ ἀορίστου, καὶ μάλιστα ἐκεῖνος ὁ ἐν τῇ ἑλληνικῇ ἐπικρατήσας, ἐπὶ τῆς προσαρτήσεως τῆς συλλαβῆς sa στηρίζεται κατ' ἐπιτομὴν ἐκ τῆς asa προελθούσης. Τὸ ληκτικὸν a τῆς συλλαβῆς ταύτης ὑπ' οὐδενὸς ἄλλο τι ἐκληφθήσεται ἢ αὐτὸ τὸ a τοῦ tuda, baudha καὶ τῶν ἄλλων δυσσυλλάβων θεμάτων, ὧν τὴν εἴσοδον εἰς τὴν προτέραν περίοδον ἀναγαγεῖν ἐνομίσαμεν δύνασθαι. Ἐκ τούτων μετ' ἀσφαλείας συνάγομεν, ὅτι παρὰ τῷ as-mi ὑπῆρχε καὶ ἐνεστὼς asa-mi, παρὰ δὲ τῷ as-t καὶ παρῳχημένος asa-t ἐν χρόνοις ἀρχαιοτέροις τοῦ τῶν συνθέτων τύπων σχηματισμοῦ· ἐξ οὗ ἐπιβεβαιοῦται,

---

λιος φαίνεται τὴν ἐκ τῆς ῥίζης ja (ἰέναι) παραγωγὴν τοῦ ἐπιθέματος ja ἀποκρούων ἐν οἷς ὑποσημειοῖ (ἰδ. τομ. 3, σελ. LI). «Ἐξ οὗ χρόνου ὑπὸ Bopp ἐν τῇ τῆς συζυγίας θεωρίᾳ τὸ βοηθητικὸν τοῦτο εἰσήχθη ῥῆμα, τοσοῦτον ἰσχυρῶς ἐνεθρονίσθη, ὥστε ἐν τοῖς συγγράμμασι τῶν πλείστων φιλολόγων εὕρηται καὶ δὴ καὶ ἐν τῇ νεωστὶ ἐκδοθείσῃ ὑπὸ Κουρτίου Χρονολογίᾳ ἐν τῷ σχηματισμῷ τῶν ἰνδοευρωπαϊκῶν γλωσσῶν.» Ἀλλ' οὐδεμία ἄλλη ἀντ' αὐτῆς προτείνεται πιθανωτέρα γνώμη πρὸς ἐκθρόνισιν τοῦ πολυγρήστου τούτου καὶ πολυσημάντου ja. H. B.

(1) Περὶ τῶν ποικίλων τῆς ἐννοίας τροποποιήσεων, αἳ διὰ τοῦ ἰέναι ἐκφράζεσθαι δύνανται, πρβ. W. Humboldt über d. verschied. d. menschl. Sprachbaues s. 257.

ὅτι οἱ θεματικοὶ τύποι τῶν συνθέτων πρότεροί εἰσιν.

Εἰ κατ' αὐτὸν τὸν τρόπον τὸ τῶν χρόνων σύστημα οὐσιωδῶς συνεπληρώθη καὶ διεποικίλθη, παρόμοιόν τι καὶ ταῖς ἐγκλίσεσι (1) συνέβη, ὧν ἡ διάκρισις ἀπὸ τῆς προτέρας ἤδη ἤρξατο περιόδου. Ἂν τοὺς τύπους συγκρίνωμεν τῆς εὐκτικῆς ἢ, ὡς ἐν τῇ σανσκρίτῃ λέγεται, τῆς δυνητικῆς τῆς ἀρχεγόνου ἀρίας γλώσσης, οἵους ὁ Schleicher ἐκ τῶν γλωσσῶν ἑκάστων τῆς ῥίζης as συνήγαγε (Compend. ἐκδ. 3,698), πρὸς τοὺς τῆς ὑποτακτικῆς, οἷον

3 προσ. ἑν. εὐκτ. as-jâ-t ὑποτ. as-a-t(i)

3 προσ. πληθ. » as-ja-n(t) » as-a-nt(i),

εὑρίσκομεν ἐνταῦθα, ἐξαιρουμένων τῶν καταλήξεων, αἱ ἄλλως ἐν τῇ σανσκ. ὑποτακτικῇ ἀσταθεῖς, μόνον δ' ἐν τῇ εὐκτικῇ σταθερῶς αἱ δευτερεύουσαί εἰσι, καὶ τοῦ χρόνου τοῦ a, τοιαύτην σχέσιν, οἵα ἡ τοῦ ἐνεστῶτος τῆς ὁριστικῆς τοῦ θεματικοῦ τύπου (1 ταξ. τῆς σανσ.) πρὸς τὸν ἐκ τοῦ ja σύνθετον (4 ταξ. τῆς σανσκριτ.).

as a-nt(i): as-jan(t) = bhara-nti: svid-janti.

Εἰ δ' ὀρθῶς τὸ ja τῆς περὶ ἧς ὁ λόγος συζυγίας εἰς τὴν ῥίζαν ja (ἰέναι) ἀνήχθη, εἰκός ἐστι καὶ τὸ τῆς εὐκτικῆς ja ἐκ τῆς αὐτῆς πηγῆς παράγειν· ὅτι δὲ ἡ εὐκτικὴ οὐδὲν ἄλλο ἐστὶν ἢ πεπλατυσμένον τῇ τοῦ ja προσθήκῃ ἐνεστῶτος θέμα, ἀποδείκνυται καὶ ἐξ ἄλλης παραθέσεως πιθανόν. Τὸν Bopp οὐ διέλαθεν ἤδη ἡ ἔκτακτος τῶν καταλήξεων τοῦ συνθέτου μέλλοντος ὁμοιότης

(a)sjâ-mi, sja-si, sja-ti

πρὸς τὰς τῆς εὐκτικῆς τοῦ ὑπαρκτικοῦ ῥήματος (a)sjâ-m, sjâ-s, sjâ-t (Συγκρ. Γραμμ. 3,298 γαλλ.μετ.). Τὸ sjâ-mi τοῦτο ἀδύνατόν ἐστιν ἐκ τοῦ sjâ-m παραγαγεῖν· διότι ἦν ἂν ἡ μόνη περίπτωσις, καθ' ἣν ἡ γλῶσσα ὅ τι ἤδη ἀπώλεσεν ἀνεκτήσατ' ἂν αὖθις. Τὸ (a)sjâ-mi συνάδειμᾶλλον, ὡς καὶ Benfey (Kurze Skgr. s. 186) καὶ Schleicher (Compend. 3,803) ἀνεγνώρισαν, τοῖς ἐκ τοῦ ja ἐσχηματισμένοις τοῦ ἐνεστῶτος θέμασιν. Κατὰ τὴν ἡμετέραν ἄρα ἀνάλυσιν, τῇ τοῦ Benfey ἐνταῦθα συμφωνοῦσαν, as-jâ-mi, σημαίνει εἶμι εἶναι. Τοῦτο δὴ τὸ as-jâ-mi ἐν τῇ τοῦ μέλλοντος διατηρηθὲν καταλήξει π.χ. dâ-sjâ-mi, = δωρ. δω-σίω, ταὐτὸν θεωρῶ τῇ ἐν ἀνεξαρτήτῳ χρήσει διασωθείσῃ εὐκτικῇ (a)sjâ-m = ἐ-ίη-ν· μόνον αἱ πρωτεύουσαι εἰς δευτερευούσας μετετράπησαν καταλήξεις. Ἡ θεωρία δὲ αὕτη καὶ ὑπὸ τῆς λατινίδος ἐπιβεβαιοῦται φωνῆς· διότι πρὸ πολλοῦ ἡ ταὐτότης τοῦ ero ἀντὶ esjo τῷ (a)sjâ-mi ἀνεγνώρισταί τε καὶ ἀποδέδεικται, πρὸς δὲ τὴν εὐκτικὴν (a)sjâm ἐν ἀνεξαρτήτῳ χρήσει τὸ λατ. siêm ἀντιστοιχεῖ. Ἀλλ' ἐν τῇ συνθέσει μετὰ θέματος τοῦ παρακειμένου, οὐδεμία ἐστὶ διαφορὰ τοῦ rîmus (dede-rîmus) ὡς ἀ προσ. πληθ. τοῦ ero ἀπὸ τοῦ rîmus ὡς ἀ προσ. πληθ. = sîmus, ἐκεῖνο μὲν ἐν τῷ τετελεσμένῳ μέλλοντι, τοῦτο δ' ἐν τῷ τῆς ὑποτακτικῆς παρακειμένῳ· ἀμφότερα βεβαίως ἐκ τοῦ αὐτοῦ esîmus (τοῦτο δ' ἐκ τοῦ es-iê-mus) πηγάζουσι, σανσκρ. s-jâma, ἑλλ. ε-ῖη-μεν, εἶμεν. Καὶ ὁ μὲν Schleicher οὐδεμίαν περαιτέρω περὶ τῆς ἀρχῆς τῆς συλλαβῆς ja ποιεῖται ἐξέτασιν, καίτοι ἐν τῇ εὐκτικῇ (Comp. 3,698) εἰς τὸ ἀντωνυμικὸν θέμα ja παραπέμπει· ἀλλὰ πράγματι δυσχερὲς ἂν ἦν δεῖξαι πῶς ἡ ἔννοια τῆς εὐκτικῆς ἤτοι δυνητικῆς ἐκ δεικτικῆς ἀντωνυμίας καὶ ταύτης μεταξὺ τοῦ θέματος καὶ τῆς καταλήξεως παρεντεθειμένης προκύψαι ἠδύνατο. Τοῦτο ἐξ ἐκείνων ἐστίν, ἐν οἷς ἡ ἀνάλυσις τῶν τύπων ἄνευ τῆς τῶν λειτουργιῶν ἐξετάσεως εἰς οὐδὲν δύναται τελικὸν συμπέρασμα ἄγειν. Ὁ δὲ Bopp (Συγκρ. Γρ. 3,338) πρὸς ἐξήγησιν τοῦ ἐγκλιτικοῦ στοιχείου τῆς εὐκτικῆς καὶ τοῦ μέλλοντος ἐμνήσθη τῆς ῥίζης î (ἐρ-ί-εσθαι), ἥτις τῇ μὲν ἐννοίᾳ λίαν ἁρμόζει, ἀλλὰ μόνον ἐν τοῖς τῶν ἰνδικῶν ῥιζῶν καταλόγοις εὑρηται, ἐρ ᾧ καὶ πάνυ ὀρθῶς ὑπό τε τοῦ Westergaard καὶ τοῦ τῆς Πετρουπόλεως λεξικοῦ μετὰ τῆς ῥίζης i (ἰ-έναι) ταὐτίζεται, διότι καὶ αὕτη πολλάκις τείνειν, ὀρέγειν πρός τι σημαίνει, καὶ εἰς παραγωγὴν χρησιμεύει πλειόνων δευτερευουσῶν ῥιζῶν, αἵ γε ὡς ἡ ish (ikh), jat κατὰ

---

(1) «Ὅταν τις τὴν ἱστορίαν μελετᾷ τῆς συστάσεως τῶν χρόνων καὶ ἐγκλίσεων, ὡς νεωστὶ ὁ Γεώργιος Κούρτιος ἐποιήσατο, ἀδύνατον μὴ οὐ θαυμάσαι τὸ ἁπλοῦν τῶν μέσων, δι' ὧν ἡ ἰνδοευρωπαϊκὴ συζυγία δεδημιούργηται. Ὁ μηχανισμὸς οὗτος ὁ κατὰ τὸ φαινόμενον τοσούτῳ περίπλοκος διὰ τεσσάρων ἢ πέντε κινεῖται τροχῶν· διότι ἡ μὲν αὔξησις, ἡ ἀναδίπλωσις καὶ τὸ βοηθητικὸν ῥῆμα πρὸς σχηματισμὸν ἐπήρκεσαν τῶν χρόνων, τὰ δὲ a καὶ ja ἐπιθέματα τὰς ἐγκλίσεις ἐσχημάτισαν. Ὅπως κατανοήσῃ τις, πῶς διὰ τοσούτων ἀσθενῶν μέσων ἡ κατασκευὴ κατωρθώθη συστήματος τοσοῦτον ἐντέχνου, οὐ χρὴ ἐπιλανθάνεσθαι, ὅτι ἡ μὲν συζυγία ἐν πολλῶν αἰώνων περιτροπαῖς συνέστη, ἡ δὲ τῶν φθόγγων ἀλλοίωσις τὸ σχῆμα μεταμορφοῦσα τῶν εἰς χρῆσιν τεθέντων στοιχείων διημκόλυνεν, ὅπως πολλάκις καὶ πρὸς διαφόρους χρείας εἰς τὴν αὐτὴν ἀρχέγονον καταφύγωσιν ὕλην.» Βρεὰλ ἐν τῇ εἰσαγωγῇ τοῦ τρίτου τόμου τῆς συγκρ. τοῦ Βοπ. Γρ. σ. LXXIV. ἰδ. καὶ ἀν. σ. 197. Η. Β.

ταύτην τὴν πνευματικωτέραν σημασίαν ἀποκλειστικῶς ἐν χρήσει εἰσίν. Ἡ συγγένεια τοῦ i καὶ ja ἀναμφισβήτητος. Ἡ ἑρμηνεία τοῦ Bopp οὐσιωδῶς ἐπὶ τὸ αὐτὸ συμπίπτει τῇ ἡμετέρᾳ εἰκασίᾳ. Ναὶ μὴν ἔστιν ἀεὶ ἔτι διττή τις διαφορὰ τῶν συνθέτων τῆς ὁριστικῆς ἐνεστώτων ὡς svid-jâ-mi, svid-ja-si, svid-ja-ti ἀπὸ τῶν τῆς εὐκτικῆς bhû-jâ-m, bhû-jâ-s bhû-jâ-t· διότι ἡ μὲν εὐκτικὴ οὐ μόνον ἐν τοῖς πρώτοις προσώποις, ἀλλὰ καὶ ἐν τοῖς λοιποῖς πλὴν τοῦ γ' πληθ. ἔχει τὸ α μακρόν, ἡ δὲ ὁριστικὴ πλὴν τοῦ ά προσ. βραχύ. Ἀλλ' ἡ διαφορὰ αὕτη οὐδόλως ἀρκεῖ, ὅπως τὸν ἀποχωρισμὸν τῶν τύπων τούτων ἐμπεδώσῃ, καθ' ὅσον μάλιστα ἐν τοῖς τοῦ ἐνεστῶτος θέμασιν εἰς a τὸ πρῶτον πρόσωπον τοῦ ἑνικοῦ ἐν τῇ σανσκρίτῃ ἀντὶ μακροῦ βραχὺ a ἔχει tudê-ja-m, ἐνδὲ ἄλλοις τύποις τὸ a καὶ ὅλως ἀποβάλλεται. Κατὰ τὰ προσεσημειωμένα (σελ. 205) βεβαίως ὀφείλομεν περὶ τούτου τοῦ a, καθὰ καὶ περὶ παντὸς ληκτικοῦ φωνήεντος τῶν ῥιζῶν, ὡς πρωτογενὲς τὸ βραχὺ παραδέξασθαι· ἀλλὰ καὶ ἐν ἀορίστοις ἐκ τῆς ῥίζης ἀμέσως ἐσχηματισμένοις, ὡς a-sthâ-m, a-sthâ-s, a-sthâ-ta = ἔ-στη-ν, ἔ-στη-ς, ἔ-στη τε, τὸ μακρὸν ἀναφαίνεται φωνῆεν, ὅπερ ὅμως ἐν τοιούτοις σχηματισμοῖς, οἷος ὁ ἔ-θε-τε πλησίον τοῦ σανσκρ. a-dhâ-ta καὶ ἔ-γνω-τε οὐ πάνυ τι σταθερὸν φαίνεται. Περὶ δὲ τῶν δευτερογενῶν προσωπικῶν καταλήξεων τῆς εὐκτικῆς ἐν ἀντιπαραθέσει πρὸς τὰς πρωτογενεῖς τῆς ὁριστικῆς ζήτημά ἐστιν, εἴπερ ἐξ ἀρχῆς ἡ διαφορὰ αὕτη σταθερὰ ἦν. Ἡ κατάληξις μι ἐν τοῖς ἑλληνικοῖς τύποις, ὡς φέρ-ο-μι συνήθως ὡς καταχρηστικὴ χαρακτηρίζεται ἐν ἀντιθέσει πρὸς τὸ σ. bharê-ja-m καὶ πρὸς τὸ σποραδικῶς διατηρηθὲν φέροιν· ἀλλ' ἡ θεωρία αὕτη εἰς δυσκολίας προσκρούει· διότι τοιοῦτοι καταχρηστικοὶ σχηματισμοὶ τότε μόνον πιθανοί εἰσιν, ὅτε ὑπὸ εὐρυτάτης ἀναλογίας διασαφοῦνται· ἀλλὰ τοιοῦτον μέσον ἐνταῦθα ὅλως ἡμῖν ἐλλείπει· διότι αἱ καταλήξεις ἐν πᾶσι τοῖς ἄλλοις τύποις τῆς εὐκτικῆς ἐν τῇ ἑλληνικῇ δευτερογενεῖς εἰσι, καὶ ἐν τῷ ἐνεργητικῷ δὲ καὶ μέσῳ ἡ ἀναλογία τῆς εὐκτικῆς καὶ τοῦ παρωχημένου μετ' αὐστηρᾶς ἀκριβείας τηρεῖται, ἀλλὰ καὶ ἡ χρῆσις τῆς εὐκτικῆς ἐν συνθέτοις μάλιστα προτάσεσιν ὅλως τούτοις συνάδει. Ὁριστικῆς τύποι εἰς μι, ἰδιαιτέραν τινὰ δυνάμενοι ἔχειν τῇ εὐκτικῇ ὁμοιότητα, οὐχ ὑπάρχουσιν, ἀλλὰ καὶ οἱ τύποι τῆς ἐγκλίσεως ταύτης ἐν τῇ τῶν εἰς ω συζυγίᾳ οὐδὲν ἔχουσιν ἰδίᾳ τὸ κοινὸν τοῖς εἰς μι ῥήμασιν. Ἡ μοναδικὴ αὕτη ἐξαίρεσις τότε μόνον γίνεται καταληπτή, ὅταν ἐξ ἀμνημονεύτων χρόνων διασωζομένη θεωρηθῇ· διότι ὅ τι ἀπὸ τοῦ ἐπικρατοῦντος κανόνος ὅλως ἐξέρχεται, ἔχει πανταχοῦ μᾶλλον ὑπὲρ ἑαυτοῦ τὴν δικαιολόγησιν, ὅτι ἀρχαιότερον κανόνα φυλάττει· ἡ ὁμοιότης καὶ οὐχὶ ἡ ἀνομοιότης ἐστὶν ἡ ἐπὶ μᾶλλον ἐν τῇ τῆς γλώσσης ἱστορίᾳ ἐπικρατήσασα· ὥστ' ἐκ τούτων εἰκάζω, ὅτι τὸ μι ἐν τῷ φέροιμι λείψανόν ἐστι τῶν χρόνων ἐκείνων, καθ' οὓς καὶ ἐν τῇ εὐκτικῇ αἱ πρωτογενεῖς προσωπικαὶ καταλήξεις οὕπω ἦσαν λίαν βαρεῖαι, ὥστε ἡ μεταξὺ τῆς εὐκτικῆς καὶ τῶν ἐκ τοῦ ja συνθέτων τοῦ ἐνεστῶτος τῆς ὁριστικῆς τύπων συμφωνία πληρεστέρα ἦν. Ἐκ τοῦ φέρ-ο-ι-μι ἄρα εἰς bhara-jâ-mi συνηγάγομεν ἄν· ἀλλὰ καὶ ἐν ἄλλοις τισὶ σπανίοις τῶν ἑλληνικῶν ῥημάτων τύποις ἔστιν ὅπου ὁ παναρχαιότατος διετηρήθη, π. χ. ἐν τῷ δευτέρῳ προσώπῳ τοῦ ἑνικοῦ ἔσ-σι, ἐν τῷ ὁμηρικῷ τρίτῳ προσώπῳ τῆς ὑποτακτικῆς εἰς η-σι, καὶ ἐν τῷ δωρικῷ μέλλοντι.

Εἰ ταῦτα ἡμῶν τὰ συμπεράσματα ὀρθά εἰσιν, οὐδεμίαν ὑπόστασιν ἡ τοῦ Benfey (allg. Monatsschr. 1854 S 749) ἀξίωσις ἔχει, ὅτι ἡ εὐκτικὴ σύνθετος μετὰ τοῦ παρωχημένου τῆς ῥίζης ja ἐστί· διότι τὸ μόνον τοῦ παρωχημένου χαρακτηριστικόν, ἡ αὔξησις, ὅλως τῇ εὐκτικῇ ἀλλότριον ἐστιν, ἀλλὰ καὶ κατὰ τὴν ἔννοιαν χαλεπὸν ἂν εἴη τὴν τοῦ παρωχημένου χρῆσιν νοῆσαι, ὅτε ἡ ἐκ κολοβώσεως τῶν πρωτογενῶν εἰς δευτερογενεῖς καταλήξεις μετάπτωσις σύνηθές ἐστιν ἔργον καὶ οὐδὲν ἔχει τὸ παράδοξον. Αἱ παλαιαὶ αὗται συνθέσεις πολύσημοι ἦσαν. Ἐκ τῆς τοῦ ἰέναι ἐννοίας ἔνθεν μὲν προῆλθεν ἡ τοῦ στρέφεσθαι περί τι, σπουδάζειν περί τι, ἔνθεν δὲ ἡ τοῦ καταντᾶν εἴς τι, καὶ τελευταῖον ἡ τοῦ τείνειν πρός τι· ἡ μὲν πρώτη σημασία ἐν τοῖς διάρκειαν σημαίνουσι τοῦ ἐνεστῶτος τύποις ἐπαγιώθη, ἡ δὲ δευτέρα ἐν τοῖς τοῦ παθητικοῦ, περὶ ὧν ἀνωτέρω (σ. 223) ἐγένετο λόγος, ἡ δὲ τρίτη ἐν τῇ εὐκτικῇ· ἀναλογισάσθω τις μόνον τὴν διπλῆν ἐν τῷ παθητικῷ καὶ μέλλοντι χρῆσιν τοῦ γερμανικοῦ βοηθητικοῦ ῥήματος werden. Ἡ εὐκτικὴ τὸ κατ' ἀρχὰς ἠδύνατο σποραδικώτερον ὡς ἀναπληροῦσα τὴν ὑποτακτικὴν ὑπάρχειν καθ' ὃν τρόπον τὰ εἰς ja τοῦ ἐνεστῶτος στελέχη πλησίον τῶν ἐκ τῆς ῥίζης ἐσχηματισμένων καὶ τῶν θεματικῶν. Ἀλλὰ ταχέως ὁ σχηματισμὸς οὗτος ἀπεσπάσθη καὶ γενικὴ κατέστη ἀνάγκη, ὡς ἡ εἰδικὴ σανσκριτικὴ χρῆσις τῆς συλλαβῆς ja ἐν τῷ παθητικῷ, ὥστε καὶ ἐκ τῶν ῥιζικῶν καὶ ἐκ τῶν θεματικῶν τύπων οὐ μόνον

ἡ ὑποτακτικὴ ἐσχηματίζετο, ἀλλὰ καὶ ἡ εὐκτική, καὶ τύπος οἷος ὁ bharâ-jam(i), καὶ αὐτός γε μὴν ὁ svid-ja-jâm(i) παρεισήχθη, καὶ ἀπὸ τοῦ ἀναδεδιπλασιασμένου στελέχους, καὶ ἀπό τε τῶν ἁπλῶν καὶ τῶν συνθέτων τοῦ ἀορίστου ἀνεβλάστησαν εὐκτικαί, καὶ οὕτω ἡ ὁμοιότης τῷ πρωτογόνῳ τύπῳ ὅλως ἐξήλειπται. Τοῦτο βεβαίως συνέβη, διότι πρωΐμως μικράς τις τῆς σημασίας διαφορὰ τῆς συνθέτου ταύτης καὶ τῆς ἁπλῆς ἐγκλίσεως ἐπῆλθε· διὰ δὲ τῆς κατὰ μικρὸν εἰσχωρησάσης συνηθείας ὅπως τῇ νεωτέρᾳ ἐγκλίσει αἱ δευτερεύουσαι προσωπικαὶ καταλήξεις προσαρτῶνται, ἔμελλεν ἡ ἀποχώρισις ἔτι ὁλοσχερεστέρα γενέσθαι. Ποία δέ τις ἡ σχέσις τούτου τῇ τῆς εὐκτικῆς χρήσει, οὐ τοῦ παρόντος ζητῆσαι.

Πρὸ ὀλίγου ἐκ τοῦ μέλλοντος ἐνομίζομεν δυνατὸν εἶναι τὴν εὐκτικὴν εὐληπτοτέραν καταστῆσαι· νῦν δὲ τοὐναντίον ἐκ τῆς περὶ εὐκτικῆς ἡμετέρας θεωρίας ἐπιχειρήσομεν τὸν τοῦ μέλλοντος διαφωτίσαι σχηματισμόν. Ὁ Bopp ἐν ταῖς περὶ τοῦ εἰς -sjâmi μέλλοντος ἐρεύναις αὐτοῦ σφόδρα, ὡς εἴδομεν, ὑπεστήριξε τὴν συνάφειαν αὐτοῦ μετὰ τῆς εὐκτικῆς, καὶ ἡ συνάφεια αὕτη τῷ λατινικῷ μέλλοντι λόγου ἀξία ἐστί, καθ' ὅσον τύποι ὡς ferês, ferêt πράγματι εὐκτικῆς ὄντες ἐγκλίσεως τὴν τοῦ μέλλοντος εἰλήφασι σημασίαν. Ἐν τῷ ἡμετέρῳ συγγράμματι Χρόνοι καὶ Ἐγκλίσεις σελ. 317 δυνατὸν ἐθεώρησα, ὡς ἡ εὐκτικὴ μετὰ δευτερογενῶν καταλήξεων πηγὴ γένοιτο τοῦ σχηματισμοῦ τοῦ μέλλοντος πρωτογενῶν εὐμοιροῦντος καταλήξεων, καὶ ἐκ τῆς ἀποπείρας, ἵνα ὁ χρόνος τοῦ μέλλοντος ἀπὸ τῆς ἐγκλίσεως τοῦ δυνατοῦ διακριθείη, αὖθις αἱ πρωτογενεῖς καταλήξεις ἐν τῷ μέλλοντι ἐπαναληφθεῖεν· ἀλλ' ἀπὸ πολλοῦ εἰς τοιοῦτον ἀνασχηματισμὸν (Ruckbildung), ὡς ὀρθῶς ὠνομάσθη, ἐπαυσάμην πιστεύων. Ἐν ταῖς διασαφήσεσι τῆς ἡμετέρας Γραμματικῆς σελ. 99 τὴν Σχλεϊχέρειον ἤδη ἠσπασάμην θεωρίαν, καθ' ἣν ὁ σύνθετος μέλλων ἐκ τοῦ ῥηματικοῦ θέματος καὶ τοῦ μέλλοντος τῆς ῥίζης as σύγκειται, αὐτὸς δὲ ὁ μέλλων τοῦ as οὐδὲν ἄλλο ἐστὶν ἢ ἐνεστῶτος σχηματισμὸς εἰς εἰδικὴν σημασίαν χρησιμεύων. Ἐπειδὴ δὲ σαφὲς ἐγένετο ὅτι καὶ αὐτὴ ἡ εὐκτικὴ κυρίως σύνθετός ἐστι τοῦ ἐνεστῶτος ὁριστική, ἀμφότεραι αἱ θεωρίαι ἐπὶ τὸ αὐτὸ συνέρχονται. Μέλλων, ὡς dâ-sjâ-mi, σύνθετος ἐκ τῆς ῥίζης dâ ἐστι καὶ τοῦ ἐκ τῆς ῥίζης as ἐσχηματισμένου ἐνεστῶτος as-jâ-mi, ὃς ἐν ἑαυτῷ τὴν ἁρμοδιότητα φέρει, ἵνα ὡς μέλλων καὶ ὡς εὐκτικὴ εἰς χρῆσιν ἔλθῃ· καὶ ὄντως τοῦ τε λατινικοῦ ero=es-io καὶ τοῦ σανσκριτικοῦ sjâm, ἑλλ. ἐ(σ)-ίη-ν, λατ. (e)sie-m ἡ πηγὴ ἐγένετο. Ὁ μέλλων ἀπὸ τῶν πλείστων τῆς εὐκτικῆς τύπων ἐκ τῶν πληρεστέρων καταλήξεων διακρίνεται· ἐξ οὗ τὸ χρονολογικὸν δυνάμεθα ἐξαγαγεῖν συμπέρασμα, ὅτι ὁ σύνθετος μέλλων ἐν χρόνῳ ἐσχημάτισται, καθ' ὃν ἔτι τὸ as-jâ-mi τὰς προσωπικὰς αὐτοῦ καταλήξεις ἀκεραίας διετήρει.

Ἡ πρὸς σχηματισμὸν συνθέτων χρόνων τάσις ἐπὶ μακρὸν ζῶσα παραμεμενηκέναι φαίνεται, διότι ἡ μὲν σανσκρίτη παραδείγματα τὴν ὑποθετικὴν καὶ τὴν παρακλητικὴν παρέχει, ἡ δὲ ἑλληνικὴ τοὺς παθητικοὺς ἀορίστους, ἡ δὲ λατινικὴ τοὺς συνθέτους παρατατικούς, τοὺς παρακειμένους καὶ ὅ,τι αὐτόθι ἀναφέρεται, ἡ δὲ γερμανικὴ τὸν ἀσθενῆ λεγόμενον παρῳχημένον. Εἰ πάντες οὗτοι οἱ νεώτεροι σχηματισμοὶ ὄντως μετὰ τὴν ἀποχώρισιν ἐγένοντο, ἀμφίβολόν ἐστιν, μᾶλλον δ' ἂν εἴη πιθανόν, ὅτι τὰ μὲν προσαρτήματα πάντων τούτων τῶν σχηματισμῶν εἰς τοὺς ἀρχαίους ἀνῆκον χρόνους, ἡ δὲ πολλαπλασίασις αὐτῶν καὶ ἡ ἀκριβεστέρα τῆς χρήσεως διατύπωσις ἀριδήλως πολὺ μεταγενέστεραί εἰσι, καὶ ἐν μέρει τοὐλάχιστον ἐκ τῆς ἀνάγκης προῆλθον, ὅπως ἁπλοῦς σχηματισμοὺς ἀναρμοδίους καταστάντας ἀναπληρώσωσι· περὶ τούτων διδακτικωτάτη ἐστὶν ἡ συμφωνία τοῦ γερμανικοῦ ἀσθενοῦς παρῳχημένου μετὰ τοῦ ἑλληνικοῦ εἰς —θο-ν.

Β. σύνθεσις μετ' ἐσχηματισμένων ὀνοματικῶν θεμάτων.

Περὶ τῶν παραγώγων ῥημάτων ἀναμφιβόλως αἱ θεωρίαι τῶν γλωσσολόγων ἐν πολλοῖς ἔτι διαφωνοῦσιν, ἡμεῖς δ' ἐνταῦθα οὐκ εἰς τὰ καθ' ἕκαστα προτιθέμεθα εἰσελθεῖν· ἀλλὰ περὶ τῆς πολυαριθμοτάτης τάξεως τῶν ῥημάτων, ἃ ἐν τῇ σανσκρίτῃ ἐν τῷ πρώτῳ προσώπῳ τοῦ ἐνικοῦ εἰς a-jâ-mi λήγουσιν, οὐδεμία φαίνεταί μοι ἀμφιβολία μένουσα ὅτι ἡ ἀρχὴ αὐτῶν σχέσιν τοῖς ἐνταῦθα διερευνωμένοις ἔχει. Ἂν ῥῆμα ὡς τὸ kâma-jâ-mi ἢ bhâra-jâ-mi φορε-jω-μι συγκρίνωμεν πρὸς τὸ svid-jâ-mi, τὴν αὐτὴν ἀκριβῶς εὑρίσκομεν διαφοράν, ἣν καὶ ἐν τῷ θεματικῷ bharâ-mi πρὸς τὸ πρωτογενὲς as-mi· ἡ δὲ διαφορὰ αὕτη διεσαφήθη ἡμῖν οὕτω, ὅτι δὴ τὸ bhara ὀνοματικὸν εἴη στέλεχος ῥηματικὸν γενόμενον. Τὴν αὐτὴν δὲ καὶ ἐνταῦθα προτείνομεν ἐξήγησιν· τὸ μὲν πρῶτον στυστατικὸν τοῦ

